# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: veu-aa

Ὀλυμπιόδωρος ὁ Ἀλεξανδρεύς · Olympiodorus the Alchemist of Alexandria

# To the Active Zosimus, What Was Said by Hermes and the Philosophers

*Εἰς τὸ κατ᾽ ἐνέργειαν ζωσίμου ὅσα ἀπὸ Ἑρμοῦ καὶ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.69.(12t) ΟΛΥΜΠΙΟΛΩΡΟΥ ΦΙΛΟΣΟΦΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΕΙΣ ΤΟ ΚΑΤ᾽ ΕΝΕΡΓΕΙΑΝ ΖΩΣΙΜΟΥ ΟΣΑ ΑΠΟ ΕΡΜΟΥ ΚΑΙ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΗΣΑΝ ΕΙΡΗΜΕΝΑ. Γίνεται δὲ ἡ ταριχεία ἀπὸ μηνὸς μεχὶρ κε′ [καὶ] ἕως μεσωρὶ κε′· ὅσα ἂν δύνῃ ταριχεῦσαι καὶ πλῦναι ἕως ἀφῆς τὰ αὐτὰ ἐν ἀγγείοις ἀποκείμενα.

2.70 Καὶ ἐὰν δύνῃ ποιῆσαι, ποίησον τῆς ταριχείας τὴν ἐνέργειαν, κάλλιστε τῶν σοφῶν. Ἔθος γὰρ τοῖς ἀρχαίοις συγκαλύπτειν τὴν ἀλήθειαν καὶ τὰ πάντη τοῖς ἀνθρώποις εὔδηλα, δι᾽ ἀλληγοριῶν τινων καὶ τέχνης ἐμφιλοσόφου ἀποκρύπτειν, οὐ μόνον δὲ ὅτι τὰς τιμίας ταύτας τέχνας τῇ ἀφεγγεῖ αὐτῶν καὶ σκοτεινοτάτῃ ἐκδόσει συνεσκίασαν, ἀλλὰ καὶ αὐτὰ τὰ κοινὰ ῥήματα δι᾽ ἄλλων τινῶν ῥημάτων μετέφρασαν· ὡς ἔχει ἐπὶ τοῦ ἐν ὑποκειμένῳ καὶ οὐκ ἐν ὑποκειμένῳ· ὡς καὶ αὐτὸς γινώσκεις, φιλόσοφε δέσποτα, εἰς τοῦτο αὐτὸ Πλάτωνα καὶ Ἀριστοτέλην ἀλληγορήσαντας, καὶ πρὸς τὰ ῥήματα ταῦτα διαφερομένους. Ἀριστοτέλης γὰρ τὴν οὐσίαν φησὶν οὐκ ἐν ὑποκειμένῳ εἶπε, τὸ δὲ συμβεβηκὸς ἐν ὑποκειμένῳ. Πλάτων δὲ πάλιν τοὐναντίον ποιεῖ καὶ τὸ οὐκ ἐν ὑποκειμένῳ τὴν οὐσίαν καὶ τὸ ἐν ὑποκειμένῳ τοῦ συμβεβηκότος, καὶ ἁπλῶς ὥσπερ ὅσα τοιαῦτα καὶ τοσαῦτα κατὰ τὸν δοκήσαντα αὐτοῖς τρόπον ἐξέθεντο. Οὕτω καὶ ἐπὶ τῆς τιμίας ταύτης τέχνης πᾶσα σπουδὴ γέγονεν τοῖς ἀρχαίοις, ἑνὸς ὄντος τοῦ πράγματος καὶ μιᾶς τέχνης διά τινων θεωριῶν καὶ αἰνιγμάτων ἐκθέσθαι· ἵνα ἐκ τῶν φυσικῶν πραγμάτων ἀκοντίσαντες τοὺς ζητητὰς, εἰς τὰ οὐ φυσικὰ πράγματα μεθοδεύσωσιν, ὃ δὴ καὶ γέγονεν. Ἐκ τῶν ἑξῆς γὰρ ὁ παρὼν δηλώσει τρόπος. Γίνεται δὲ ἡ ταριχεία περὶ τῆς πηλώδους γῆς.

2.71 —Ἐνταῦθα διαλέγεται ὁ φιλόσοφος τῆς ὀφειλούσης πλύνεσθαι· πλῦναι γὰρ χρὴ καὶ πλῦναι μέχρις ἂν τὸ πηλῶδες ἐξέλθῃ, κατὰ τὴν θείαν Μαρία ν . Πᾶσα γὰρ γῆ τοιαύτη σωματοφόρος, πλυνομένη, εἰς ψάμμον καταλήγει. Μετὰ οὖν τὴν βεβαίαν καὶ καθαρὰν πλύσιν εὑρήσεις τὰ σώματα εἰς τὴν ψάμμον, τουτέστιν τὰ πέταλα τοῦ χρυσοῦ, ἀργυρίζοντα ἢ μολυβδίζοντα, ὅ ἐστιν ἀργύρου ἢ μολύβδου τὴν χρόαν ἔχοντα, ὡς καὶ τοὺς λίθους, αὐτὴν δηλαδὴ τὴν ψάμμον ἄνωθεν οὐσιοῦσαν· ἥν τινα οἱ ἀρχαῖοι διὰ τὸ κύριον ὄνομα ἐπέθηκαν λιθάργυρον, καὶ εἰς αὐτήν ἐστιν εὑρεῖν καὶ τὸ τετρασύλλαβον καὶ τὸ ἐννεάγραμμον. Τὸ γὰρ «ἀπὸ μηνὸς μεχὶρ» οὐδέν ἐστιν· τοῦτο γὰρ ἐτέθη ἵνα ὁ ἐντυγχάνων δόξῃ ἀπὸ τοῦ χρονικοῦ διαστήματος ξηρίον εἶναι καὶ σκευὴν, καὶ ἐάσας τὴν εὐθεῖαν ὁδὸν, πρὸς τὴν ἀκανθώδη ἀναδράμῃ πλάνην. Τὸ δὲ

«ἐν ἀγγείοις ἀποκείμενα» τὰ ὀστράκινα βωτάριά εἰσι ὧν τινων Ζώσιμος μόνος μέμνηται. Τῷ δὲ «ποιῆσαι τῆς ταριχείας ἐνέργειαν» πρὸς τὴν ἔμπρακτον ἐργασίαν προτρέπεται. Καὶ ἡ ἐνέργεια γὰρ ἐνταῦθα εἰς τὴν πρᾶξιν ἐκλαμβάνεται. Ἔστω σοι γνωστὸν, ὡς καὶ ὅτι τις ταριχεύων τι τῶν ὄψων καὶ χρόνου τινὸς δεῖται, καὶ ἡ ὥρα χρόνος ἐστίν· αὐτῇ γοῦν τῇ ὥρᾳ πλυθεὶς ὁ πηλὸς εἰς τὴν ψάμμον καταλήξας ψύγεται. Τῷ δὲ «ἀπὸ μηνὸς μεχὶρ κεʹ ἕως μεσωρί κεʹ» ἐσήμανεν ὅτι ἀπὸ τῆς ταριχείας εἰς τὸ πῦρ βάλλεται.

2.72 Οὐκ εἶπε δὲ ὅτι μετὰ τὸ τέλος τοῦ μεσωρὶ εἰς τὸ πῦρ βάλλεται, ἀλλ’ ἀπὸ τῆς ταριχείας ἤτοι πλύσεως, μᾶλλον δὲ ξηράνσεως. Τῷ δὲ «ὅσα ἂν δύνῃ ταριχεῦσαι καὶ πλῦναι», ἐσήμανε τὸ τῆς οὐσίας εἶδος καὶ τὸ τῆς ξηράνσεως, τῷ μὲν «ὅσα ἂν δύνῃ» τὸ τῆς οὐσίας εἶδος, τῷ δὲ «ταριχεῦσαι καὶ πλῦναι» τὸ τῆς ξηράνσεως· δεῖται γὰρ ταύτης πάντοτε· καὶ οὕτως πλύνεται, καὶ τὸ τῆς οὐσίας εἶδος ἐδηλώθη τῷ δεσπότῃ μου, τίς ἡ ταριχεία, καὶ τίς ἡ πλύσις, καὶ τίς ἡ ξήρανσις, ἤτοι ψύξις· ὡς καί που Δημόκριτός φησι στυπτηρίαν ἐξυποθεῖσαν, 〈οὐκ〉 ἠθέλησεν ὁ φιλόσοφος φαντάσαι τοὺς ἐντυγχάνοντας εἴς τε στυπτηρίας τινὰς ἀποβλέποντας, καὶ πρὸς στυπτικὸν ἤδη πλαζομένους ἀκήρατον χρόνον ἐκδαπανῆσαι. Τὸ δὲ τῆς πλύσεως διττὸν, τὸ μὲν μυστικὸν, τὸ δὲ ἀπολελυμένον. Πλύσιν οὖν εἰρήκασιν μυστικὴν καὶ πλύσιν ἀπολελυμένην. Καὶ πλύσις μυστικὴ ταὐτόν ἐστι, καὶ ἀδιαφορεῖ ἤ τις γίνεται διὰ τοῦ θείου ὕδατος. Ἡ γὰρ πλύσις πλύσις ἐστὶν ἡ δι’ εὐφημίας καὶ μόνης πειθήνιον τῶν ὁμορρευστησάντων φευκτῶν, ἤγουν τὴν τῶν ἀσωματωθέντων σωμάτωσιν καὶ τῶν πνευμάτων, τουτέστιν τῶν ψυχῶν αὐτῶν διὰ μόνης τῆς φύσεως τελούμενα καὶ οὐ διὰ χειρῶν ὥς τινες νομίζουσιν. Ὁ γὰρ Ἑρμῆς φησιν· «Ὅταν λάβῃ μετὰ τὴν μεγάλην θεραπείαν, τουτέστιν τὴν πλύσιν τῆς ψάμμου», ἰδοὺ τὴν οὐσίαν ψάμμον ἐκάλεσεν, τὴν δὲ πλύσιν, τουτέστιν τὴν μεγάλην θεραπείαν.

2.73 Καὶ Ἀγαθοδαίμων εἰς τοῦτο συνηγορεῖ. Βαβαὶ τῆς τοῦ φιλοσόφου ἀφθονίας! οὐδεὶς τῶν ἀρχαίων οὕτως τὸ πρᾶγμα ἐφώτισεν, καὶ ὀνομαστὶ τὸ εἶδος ἐξεῖπεν, εἰ μὴ οὗτος ὁ ἄριστος καὶ πάνσοφος ἀνήρ· ἡ γὰρ καθαρὰ πλύσις δῆλον ὅτι μεγάλη θεραπεία ἐστίν. Ὑποθήσομαι δέ σοι καὶ τὴν τῆς χρυσοκόλλης οἰκονομίαν. ΠΕΡΙ ΧΡΥΣΟΚΟΛΛΗΣ. —Χρυσόκολλά ἐστιν, τουτέστιν τὸν χρυσὸν πρὸς τὸν χρυσὸν κολλῆσαι, ἅ τινά ἐστι τὰ πέταλα τοῦ χρυσοῦ τὰ χωρισθέντα ἀπὸ τῶν ψάμμων. Πῶς χρὴ αὐτὰ ἑνῶσαι, ἤτοι κολλῆσαι, καὶ πρὸς ἑαυτὰ συνελθεῖν, ἵνα τὸ πνεῦμα αὐτῆς τὸ βαπτικὸν συντηρηθῇ; Τὸ πνεῦμα λέγει τοῦ πυρὸς τὴν χθαμαλωτέραν καῦσιν, ἵνα μὴ τῇ πολλῇ ἐκπυρώσει τὰ μὴ καθήκοντα γενῶνται. Ἀλλὰ κυρίως κολακείᾳ τινὶ καὶ ἐπιεικείᾳ τὸ πῦρ καίηται· ἵνα μὴ ἐκκαπνισθεῖσα ἡ νεφέλη ἐξαναλωθῇ, ἡ νεφέλη ἐστὶν ἡ τρέχουσα· ἡ δὲ τρέχουσά ἐστιν ἡ ὑδράργυρος, ἥτις ἐστὶ νεφέλη. Αὕτη οὖν ἡ νεφέλη ἤτοι ὑδράργυρος τῷ πυρὶ προσομιλοῦσα ἐκκαπνίζεται, 〈καὶ〉 ὡς καπνὸς μόνος διὰ τῆς χώνης ἐξέρχεται, οὕτω καὶ τὰ πέταλα τοῦ χρυσοῦ, ἅ τινα ὁ Ζώσιμος κλαυδιανὰ πέταλα καλεῖ, τῇ βίᾳ τοῦ πυρὸς ἀφυῶς καιόμενα ἐκκαπνίζονται. Μάθοις ἂν, ὦ φίλε τῶν Μουσῶν, ὅτι τὸ τῆς οἰκονομίας ὄνομα, τί ποτέ ἐστιν. Καὶ μὴ ὑπολάβῃς ὥς τινες τὴν διὰ χειρῶν ἐνέργειαν μόνον ἀρκοῦσαν εἶναι, ἀλλὰ καὶ τὴν διὰ τῆς φύσεως γινομένην, ὑπὲρ ἄνθρωπον οὖσαν.

2.74 Ὅτε χρυσὸν ἔλαβες, ὀφείλεις οἰκονομῆσαι, καὶ εἰ προσεχῶς οἰκονομήσεις, τὸν χρυσὸν ἕξεις. Καὶ μὴ ὑπολάβῃς, φησὶν, ἀπὸ ἄλλων τινῶν ἐννοιῶν καὶ βοτανῶν βαφὴν εἶναι, ἀλλὰ αὐτῇ τῇ φυσικῇ χρήσει σχόλασον, καὶ ἕξεις τὸ ζητούμενον. Καὶ τὸ τῆς οἰκονομίας ὄνομα ἐν μυρίοις τόποις λέλεκται δι’ ὅλων τῶν ἀρχαίων· κάτοχον γὰρ τρόπον τινὰ βούλονται εἶναι. Τί δὲ κάτοχον τίνος, εἰ μὴ ἄρα φεύγοντός τινος ἡ κάτοχος ὑδράργυρος; καὶ αὕτη φεύγει τὸ πῦρ. Λέγει γὰρ Ζώσιμος · «Πῆξον τὴν ὑδράργυρον τῷ τῆς μαγνησίας σώματι». Χρυσόκολλαν δὲ εἰρήκασι τὴν μίξιν ἀμφοτέρων· τὸ δὲ ἐκ τούτων ἐξιὸν ἐγκάτοχον τῷ μισγομένῳ οἶδα συντηρεῖν· τὴν μὲν γὰρ νεφέλην οἴδαμεν φευκτήν· καὶ τοῦτο ἐν μυρίοις τόποις κατηγορεῖται οὐ μόνον τὴν νεφέλην οὖσαν φευκτὴν, ἀλλὰ καὶ ὅλα τὰ τοῦ καταλόγου· ἄνω καὶ κάτω, ὁ φιλόσοφος πρὸς

τὴν ὑδράργυρον ἀποτείνεται, τὰ δὲ οἷον καὶ ὅλα τοῦ καταλόγου φευκτὰ, οἵωνπερ δὴ οἱ ἀρχαῖοι ἐμνημόνευσαν χρωτῶν καὶ βοτανῶν καὶ ἑτέρων τινῶν, ὅτι πάντα προσομιλοῦντα τῷ πυρὶ φευκτά εἰσιν. Ἵνα οὖν τὰς τάξεις μὴ προφέρω διὰ τὸ πλῆθος καὶ τὰς μαρτυρίας τῶν ἀρχαίων εἰς τοῦτο συνηγορούντων καὶ χρόνον ἄκαιρον δαπανήσωσιν, ὀλίγα παραθήσομαι ὡς τὰ κάλλιστα καὶ εὐσύνοπτα καὶ πολλῆς φλυαρίας ἐκτὸς ὄντα. Ἐνταῦθα τοὺς ἀρχαίους αἰνίττεται ὥς τινας αὐτῶν φλαυρήσαντας καὶ εἰς ἄπειρον χρόνον τοὺς ζητοῦντας ἀκοντίσαντας.

2.75 Γνώτω τοίνυν ἡ σὴ πάνσοφος χρηστότης ὅτι τρεῖς πίνους ποιοῦσιν οἱ ἀρχαῖοι, ἕνα· τὸν ταχέως φεύγοντα, ὡς τὰ θεῖα, ἕνα βραδέως, ὡς τὰ θειώδη, ἕνα μηδὲ ὅλως, ὡς τὰ σώματα τὰ χυτὰ καὶ τοὺς λίθους. ΠΙΝΟΣ ΠΡΩΤΟΣ Ο ΔΙΑ ΤΟΥ ΑΡΣΕΝΙΚΟΥ Ο ΒΑΠΤΩΝ ΤΟΝ ΧΑΛΚΟΝ, ΩΣ ΕΝ ΤΟΥΤΟΙΣ. —Ἀρσένικον ὅ ἐστι θεῖον καὶ ταχέως φεῦγον· φεύγει δὲ δηλονότι πρὸς τὸ πῦρ· καὶ ὅσα ὅμοιά εἰσιν τῷ ἀρσενίκῳ καὶ θεῖα λέγονται καὶ φευκτά. Ἡ δὲ σκευὴ οὕτως ἔχει· λαβὼν ἀρσενίκου σχιστοῦ τοῦ χρυσίζοντος ℥ ιδʹ, κόψας, σείσας, χνοώδη ποιήσας, ἔμβρεξον ἐν ὄξει νυχθήμερα δύο ἢ γʹ εἰς ὑελοῦν ἀγγεῖον στενόστομον ἄνωθεν κατησφαλισμένος, ἵνα μὴ διαπνεύσῃ. Κινῶν αὐτὸ ἅπαξ τῆς ἡμέρας ἢ δὶς, τοῦτο ποιῶν ἐπὶ ἡμέρας πολλάς· καὶ μετὰ τοῦτο κενώσας, πλῦνον καθαρῷ ὕδατι μέχρις οὗ ἡ ὄσφρησις μόνον τοῦ ὄξους φύγῃ, φύλαττε δὲ δηλαδὴ τὸ λεπτότατον τῆς οὐσίας· καὶ μὴ συναποχέει αὐτὸ τῷ ὕδατι. Εἶτα μετὰ τοῦτο ξηράνας ἤτοι στύψας ἐν ἀέρι, μίγνυε καὶ συλλείου αὐτῷ ἅλατος καππαδοκικοῦ ℥ εʹ. Τὸ δὲ ἅλας ἐπενοήθη ἐκ τῶν ἀρχαίων, ἵνα μὴ κολληθῇ ὁ ἀρσένικος εἰς τὸ ὑελοῦν κυθρίδιον, ὅπερ ὑελοῦν κυθρίδιον ἀσύμποτον Ἀφρικανὸς ἐκάλεσεν. Πηλοῦται τοίνυν ἡ κύθρα αὕτη πηλῷ, ἤτοι φιάλη ἢ φανὸς ὑελοῦς αὐτῷ ἐπικείμενος καὶ ἄνωθεν σκέπεται ἑτέρα φιάλη, καὶ κατασφαλίζεται πανταχόθεν ἵνα μὴ καιόμενον τὸ ἀρσένικον διαπνεύσῃ. Καίεται οὖν πολλάκις καὶ λειοῦται μέχρις οὗ λευκανθῇ, καὶ γίνεται στυπτηρία λευκὴ καὶ στερέμνιος.

2.76 Εἶτα χωνεύεται χαλκὸς 〈μετὰ〉 χαλκοῦ νικαηνοῦ ἄσπρου· καὶ λαμβάνεις ἀφρόνιτρα κάτω εἰς τὴν χώνην δύο ἢ τρία διὰ τὴν μάλαξιν. Εἶτα ἐπιβάλλεις τὸ ξηρίον μετὰ κερκίδος σιδηρᾶς τῇ ℥ τοῦ χαλκοῦ λίτρας δύο. Καὶ μετὰ τοῦτο ἐπιρρίπτεις εἰς τὴν χώνην τῇ ℥ τοῦ ἀργυρίου μιλιαρίσιον ἓν διὰ τὸ συγκραθῆναι τὴν βαφήν. Μετὰ τοῦτο πάλιν ἐπιρρίπτεις ἐν τῇ χώνῃ ἅλατος βραχύ τι· καὶ ἕξεις ἄσημον κάλλιστον. ΠΙΝΟΣ ΔΕΥΤΕΡΟΣ Ο ΒΡΑΔΕΩΣ ΦΕΥΓΩΝ. —Ὁ τῶν μαργάρων χαλκὸς κεκαυμένος καὶ τὸ σήρικον καὶ τὰ τοιαῦτα φεύγουσι μὲν, οὐ ταχέως δὲ, ἀλλὰ βραδέως· καὶ χρὴ εἰδέναι ἐκ τῆς ποιήσεως τοῦ σμαράγδου ἥτις ἔχει οὕτως· κρυστάλλου καλοῦ ℥ δύο, χαλκοῦ κεκαυμένου S γʹ. Πρότερον ποίει τὸν κρύσταλλον ἀκρόπυρον, καὶ βάλλε αὐτὸν εἰς ὕδωρ καθαρὸν, καὶ σμῆχε, ἵνα μὴ ἔχῃ ῥύπον. Εἶθ' οὕτως λειοῖς αὐτὸν εἰς θυείαν ἤτοι ἰγδίον καθαρὸν, μὴ ἀπολλύων, καὶ συλλειοῖς αὐτῷ καὶ τὸ σήρικον καὶ τὸν χαλκὸν τὸν κεκαυμένον· καὶ χωνεύεις αὐτὰ εἰς κάρβωνα λιτρῶν δʹ. Περιπηλώσας πρῶτον καὶ πωμάσας ἄνωθεν τὴν χώνην, καὶ ἐάσας καίεσθαι ἐν ἴσῳ πυρὶ, μὴ εἰς τὸ ἓν μέρος ὀφείλοντα ἅπτειν, εἰς δὲ τὸ ἕτερον μὴ ἅπτειν, ἀλλ' ἴσως, [καὶ] ἕξεις τὸ ζητούμενον. Κρεῖττον δέ ἐστιν χωνεῦσαι εἰς χώνην πηλοῦ ὠμοῦ, μὴ ὀπτηθέντος· ἐπεὶ εἰς τὰ χρυσοχοϊκὰ χωνεῖα συλλιπαίνεται ὁ σμάραγδος καὶ ἔρχεται εἰς τὸ χωρῆσαι αὐτὸν ἐκεῖθεν, καὶ κλᾷ αὐτόν. Θέλει δὲ συμψυγῆναι εἰς τὸ καμίνιον, καὶ οὕτως ἐπαρθῆναι, ἐπεὶ ζέοντος αὐτοῦ ἐὰν ἐπάρῃς, εὐθέως κλᾶται. ΠΙΝΟΣ ΤΡΙΤΟΣ Ο ΜΗΔΕ ΟΛΩΣ ΦΕΥΓΩΝ.

2.77 —Φεύγειν δὲ εἰρήκασι δηλονότι πρὸς τὸ πῦρ· καὶ ἐκτίθενται δύο μυστήρια, ἓν τὸ φεῦγον καὶ ἓν τὸ διῶκον· ὡς καί που Δημόκριτος τοὺς ἀρχαίους τρεῖς ἐποίησεν· ἕνα μὲν ταχέως φεύγοντα, τουτέστιν ἐν τῇ ἀναγωγῇ τῶν ὑγρῶν, ἤγουν ἐν τῇ ἄρσει τῆς νεφέλης. Καὶ διὰ τοῦτό φησιν· «Τὰ φεύγοντα ὡς τὰ θεῖα· ὀξύτατα γὰρ τῷ καπνῷ τὰ θεῖα· ἐὰν δὲ βραδέως, ὡς τὰ θειώδη. Λέγει δὲ τὴν καταρχὴν τῆς πήξεως τῶν αὐτῶν φευκτῶν ὑγρῶν ὅτε καὶ βραδύτερα γίνονται πρὸς τὴν φυγὴν ὄντα, φευκτῶν καὶ ἀφεύκτων, καὶ σωμάτων. Εἶτα τρίτον λέγει· «Φεύγοντα ὡς τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σώματα τὰ χυτά· ὅστις καὶ κυρίως λέγεται πίνος. Μετὰ γὰρ τὸ ᾠκονομηκέναι καὶ τιθέναι ἡμᾶς μερικῶς ἄφευκτα τὰ φευκτά.» Τοῦτο γὰρ εἰς ἅπαξ δράσαι ἀδύνατον, ἀλλὰ κατὰ πρόβασιν ἀναξηραίνοντες ἕως τέλους ἀφευκτότατα, Θεοῦ συνεργίᾳ, ποιοῦμεν, ὡς τὰ σώματα τὰ χυτά. Δῆλον δὲ ὅτι διὰ τοῦ πυρὸς τοῦ καὶ διώκοντος αὐτὰ τὸ πρὶν ἡνίκα ἦν φευκτὰ, οὗτινος τυχόντα, διὰ τῆς παντελοῦς ἀφευκτότητος ἀνεξάλειπτον ἕξει τὴν φύσιν τῆς βαφῆς ἐν τοῖς σώμασιν οἷς καὶ ὅμοια κατὰ τὸ πυρίμαχον καὶ τὴν ἀφευξίαν, ἐχρημάτισεν. Ἐὰν τὸ φεῦγον τοῦ διώκοντος τύχοι, ἀνεξάλειπτον ἕξει τὴν φύσιν φύσιν δὲ ἐὰν ἀκούσῃς τὴν διὰ παντὸς οὖσαν, καὶ ἕως τέλους νόει συνοῦσαν ἀδιάσπαστον καὶ μένουσαν ἀεί· τοῦτο δέ ἐστιν τὸ ἀνεξάλειπτον καὶ ἀεὶ ὂν ἀναλλοίωτον.

2.78 Οἴδασι δὲ πάντα ἀνυπόστατα τὰ τοῦ καταλόγου· καὶ οὗτος ὁ σκοπὸς αὐτοῖς, ἵνα οἱ ἐχέφρονες νοήσωσι ποῖά εἰσιν ὑποστατικὰ καὶ ποῖα ἀνυπόστατα. Καὶ διὰ τοῦτο πᾶσαν ὕλην ἐξέθεντο στερεῶν καὶ ὑγρῶν. Ἴστε γὰρ ὅτι ἡ τέχνη αὕτη διὰ πυρὸς οὐ γίνεται. Ὡς οὖν νοήμοσι προσομιλοῦντες γεγραφήκασι, καὶ οὗτος ὁ σκοπὸς αὐτοῖς. Ἀμέλει καὶ ὁ Ζώσιμος ἴδιον λόγον περὶ πυρὸς ποιεῖται. Οὐ μὴν ἀλλὰ καὶ ἐν ἑκάστῳ γνησίῳ αὐτοῦ λόγῳ, τοῦ πυρὸς φροντίζει, ὡς καὶ πάντες οἱ ἀρχαῖοι. Καὶ γὰρ πρῶτον αἴτιον καὶ μάλιστα τῆς ὅλης τέχνης τὸ πῦρ ἐστιν, ὡς καὶ τῶν δʹ στοιχείων πρῶτον τυγχάνον· οὕτω γὰρ βούλονται οἱ ἀρχαῖοι διὰ τῶν δʹ στοιχείων τὴν τέχνην αἰνίττεσθαι. Καὶ ἀκριβούσθω ἡ σὴ ἀρετὴ, ἐν ταῖς τέσσαρσι βίβλοις ἐστὶ Δημοκρίτου ὅτε κατὰ τὰ τέσσαρα στοιχεῖα λελάληκεν, ὡς φυσικὸς ὑπάρχων. Ἐξέθετο γὰρ πῆ μὲν πραέῳ πυρὶ, πῆ δὲ λάβρῳ, καὶ ἄνθραξι, καὶ ὅσα τοῦ πυρὸς δεῖται, πάλιν τὸν ἀέρα, ὅσα τοῦ ἀέρος, οἷον ἀεροπόρα ζῷα· ὡσαύτως καὶ τὰ τούτων ὑδάτων, καὶ χολὰς πάλιν ἰχθύων, καὶ ὅσα δι᾽ ἰχθύων σκευάζεται, καὶ δι᾽ ὑδάτων· πάλιν τὰ τῆς γῆς, ὡς ἅλας καὶ μέταλλα 〈καὶ〉 βοτάναι. Καὶ τούτων πάντων ἕκαστον πρὸς ἕκαστον διακέκριται χροιαῖς καὶ φύσεσιν ἀλλεπαλλήλοις, ἰδικαῖς καὶ γενικαῖς ἀρρενοθήλη ὄντα. Καὶ ταῦτα εἰδότες πάντες οἱ ἀρχαῖοι διὰ τούτων τὴν τέχνην ἐκάλυψαν τῇ πολυπληθείᾳ τῶν λόγων.

2.79 Πάντως γὰρ δεῖται ἡ τέχνη τινὸς τούτων· ἐκτὸς γὰρ τούτων οὐδέν ἐστιν ἀσφαλές. Φησὶ γὰρ ὁ Δημόκριτο ς· «Οὔτε γὰρ συσταίη ποτέ τι χωρὶς τούτων.» Ἴσθι δὲ, ἴσθι ὅτι κατὰ δύναμιν γεγράφηκα, ἀσθενὴς ὑπάρχων οὐ μόνον τῷ λόγῳ, ἀλλὰ καὶ τῷ νῷ. Καὶ μή μοι μηνιείτω παρακαλῶ εὐχαῖς ὑμῶν ἡ θεία δίκη, ὅτι ἐτόλμησα σύγγραμμα ποιῆσαι· ἵλεών μοι γένοιτο κατὰ πάντα τρόπον· αὗται αἱ Αἰγυπτίων γραφαὶ, καὶ ποιήσεις, καὶ δόξαι, χρησμοί τε δαιμόνων καὶ ἐκθέσεις προφητῶν· νοῦς τε ἀπέραντος ἐπὶ τὸ προκείμενον προσπελάζει· καὶ εἰς ἓν πέρας λήγει τὸ προκείμενον. Τοίνυν γνώτω ἡ ὑμετέρα ἀγχίνοια ὅτι ὀνόμασι πολλοῖς ἐχρήσαντο κατὰ τοῦ θείου ὕδατος· τοῦτο γὰρ τὸ θεῖον ὕδωρ ἐστὶ τὸ ζητούμενον· καὶ διὰ τοῦ ὀνόματος τοῦ θείου ὕδατος ἐκάλυψαν τὸ ζητούμενον. Ἵνα δέ σοι μικρὸν λογύδριον παρενδείξω, ἄκουε σὺ ὁ πάσης ἀρετῆς ἐντὸς γενόμενος. Οἶδα γὰρ τὸν πυρσὸν τῶν φρενῶν σου καὶ τὸ ἀγαθὸν καὶ τὸ ἀνεξίκακον. Θέλω γάρ σοι παραστῆσαι τὸν νοῦν τῶν ἀρχαίων, ὅτι κυρίως φιλόσοφοι ὄντες ἐν φιλοσόφοις λελαλήκασι καὶ παρεισήνεγκαν τῇ τέχνῃ διὰ τῆς σοφίας τὴν φιλοσοφίαν, μηδὲν ἀποκρύψαντες, ἀλλὰ πάντα φανερῶς γράψαντες· καὶ ἐν τούτοις εὐορκοῦσιν. Δόξαι γάρ εἰσιν αἱ γραφαὶ αὐτῶν, καὶ οὐκ ἔργα· τινὲς γὰρ τῶν φυσικῶν φιλοσόφων τὸν 〈περὶ〉 τῶν στοιχείων λόγον ἐπὶ τὰς ἀρχὰς ἀναφέρουσιν, ὡς καθολικωτέρας οὔσας τῶν στοιχείων. Εἴπωμεν τοίνυν πῶς ἡ ἀρχὴ καθολικωτέρα ἐστὶ τῶν στοιχείων· αὕτη γὰρ τὸ πᾶν τῆς τέχνης ἀναφέρεται· ὡς καὶ Ἀγαθοδαίμων τὴν ἀρχὴν ἐν τῷ τέλει θεὶς, καὶ τὸ τέλος ἐν τῇ ἀρχῇ.

2.80 Δράκων γὰρ οὐροβόρος βούλεται εἶναι, οὐ φθονῶν ὡς δοκοῦσί τινες ἀμύητοι· ἀλλὰ φανερὸν τοῦτό ἐστιν, ὦ μύστα, πληθυντικῇ τῇ φωνῇ, ὠά. Καὶ ὅρα, πανίστορ, καὶ νόει ὅτι ὁ Ἀγαθοδαίμων ἄρα τίς ἐστιν· ὡς μέν τινες μυθεύουσιν ὅτι τις ἀρχαῖός ἐστι τῶν πάνυ παλαιῶν ἐν Αἰγύπτῳ φιλοσοφήσας· ἄλλοι δέ φασιν εἶναι αὐτὸν μυστικώτερον ἄγγελόν τινα, ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀγαθοδαίμονα ἀγαθὸν 〈δαίμονα〉 τῆς Αἰγύπτου· πάλιν τινὲς Οὐρανὸν αὐτὸν ἐκάλεσαν· καὶ τάχα ὧδε ἔχει λόγον διὰ τὸ κοσμικὸν μίμημα. Ἱερογραμματεῖς γάρ τινες τῶν Αἰγυπτίων βουλόμενοι κόσμον ἐγχαράξαι ἐν τοῖς ὀβελίσκοις ἢ ἐν τοῖς ἱερατικοῖς γράμμασιν, δράκοντα ἐγκολάπτουσιν οὐροβόρον· τὸ δὲ σῶμα αὐτοῦ κατάστικτον ὑπάρχει πρὸς τὴν διάθεσιν τῶν ἀστέρων. Ταῦτα δέ μοι εἴρηται ὡς διὰ τὴν ἀρχήν· ὃς καὶ βίβλον ἐκτίθησιν χημευτικὴν, καὶ τοῦτον προσωποποιησάμενοι, ἐρευνῶμεν τοίνυν πῶς ἡ ἀρχὴ καθολικωτέρα ἐστὶ τῶν στοιχείων, καὶ λέγομεν ὅτι εἴ τι ἡμῖν στοιχεῖον, τοῦτο καὶ ἀρχή· τὰ γὰρ τέσσαρα στοιχεῖα ἀρχὴ τῶν σωμάτων εἰσίν· οὐκ εἴ τι δὲ ἀρχὴ, τοῦτο καὶ στοιχεῖον. Ἰδοὺ γὰρ τὸ θεῖον καὶ τὸ ᾠὸν, καὶ τὸ μεταξὺ καὶ τὰ ἄτομα ἀρχαὶ μέν εἰσι κατά τινας, στοιχεῖα δὲ οὐκ εἰσίν. Φέρε δὴ εἴπωμέν πως ἥ τε ἐστίν· ἡ ἀρχὴ τοίνυν παντὸς πράγματος κατά τινας ἢ μία ἐστὶν, ἢ πολλαὶ, καὶ εἰ μέν ἐστι μία, ἢ ἀκίνητός ἐστιν, ἢ ἄπειρος, ἢ πεπερασμένη ὡσαύτως καὶ εἰ μὲν πολλαὶ ἀρχαί εἰσιν, πάλιν αὗται ἢ ἀκίνητοί εἰσιν, ἢ πεπερασμέναι, ἢ ἄπειροι.

2.81 Μίαν τοίνυν ἀκίνητον 〈καὶ〉 ἄπειρον ἀρχὴν πάντων τῶν ὄντων ἐδόξαζεν 〈ὁ〉 Μιλήσιος τὸ ᾠὸν, λέγων ὅτι τὸ ᾠὸν τὸ ὕδωρ θείου ἀπύρου· τοῦτο γὰρ καὶ ἕν ἐστι καὶ ἀκίνητον· πάσης γὰρ σημαινομένης κινήσεως ἀπήλλακται. Ἀλλὰ μὴν πρὸς τούτοις καὶ ἄπειρόν ἐστιν· ἀπειροδύναμον γὰρ τὸ θεῖον, καὶ οὐδεὶς ἐξαριθμήσασθαι δύναται τὰς τούτου δυνάμεις. Μίαν δὲ ἀκίνητον πεπερασμένην δύναμιν ἔλεγεν ὁ Παρμενίδης τὸ θεῖον, καὶ αὐτὸς λέγων ἀρχήν· τοῦτο γὰρ ὡς εἴρηται καὶ ἕν ἐστιν, καὶ ἀκίνητον, καὶ πεπερασμένη ἡ ἀπ' αὐτοῦ ἐνέργεια. Καὶ σκόπει ὅτι ὁ Μιλήσιος Θαλῆς πρὸς τὴν οὐσίαν τοῦ Θεοῦ ἀποβλέπων ἔλεγεν αὐτὸν ἄπειρον· ἀπειροδύναμος γὰρ ὁ Θεός. Ὁ δὲ Παρμενίδης πρὸς τὰ ἐξ αὐτοῦ προαγόμενα ἔλεγεν αὐτὸν πεπερασμένον· πάντη γάρ που δῆλον ὡς πεπερασμένης ἐστὶ δυνάμεως τὰ ὑπὸ Θεοῦ προαγόμενα· πεπερασμένης δὲ δυνάμεως, ἄκουε τὰ φθειρόμενα, πλὴν τῶν νοερῶν πραγμάτων. Ἀλλὰ τούτους τοὺς δύο, τὸν Μιλήσιόν φημι καὶ Παρμενίδην ἐκ τοῦ χοροῦ τῶν φυσικῶν ὁ Ἀριστοτέλης δοκεῖ ἐκβάλλειν.

2.82 Θεολόγοι γὰρ οὗτοι τῶν φυσικῶν ἠλλοτριοῦντο δογμάτων, παρὰ τὰ μὴ κινούμενα σχολάζοντες· τὰ γὰρ φυσικὰ κινοῦνται· φύσις γάρ ἐστιν ἀρχὴ κινήσεως καὶ ἠρεμίας. Μίαν δὲ πεπερασμένην ἀρχὴν τῶν ὄντων ἐδόξαζεν Θαλῆς τὸ ὕδωρ, ἐπειδὴ γόνιμόν ἐστιν καὶ εὐδιάπλαστον· γόνιμον γὰρ οὕτω, ἐπειδὴ γεννᾷ ἰχθύας· εὐδιάπλαστον δὲ, τὸ δυνάμενον διαπλᾶσθαι ὡσὰν βούλῃς νῦν· καὶ τὸ ὕδωρ ὡσὰν θέλῃς διαπλάττεις· ἐν ᾧ γὰρ ἀγγείῳ βάλῃς τοῦτο, πρὸς αὐτὸ διαπλάττεις τὸ ὕδωρ, καὶ πρὸς ξέστην, καὶ πρὸς κεράμιον, καὶ πρὸς τρίγωνον, καὶ πρὸς τετράγωνον ἄγγος, καὶ ὡς ἐθέλεις. Καὶ μία ἐστὶν αὐτοῦ ἡ ἀρχὴ κινουμένη· κινεῖται γὰρ τὸ ὕδωρ. Πεπερασμένη δέ· οὔτε γὰρ ἀΐδιόν ἐστιν τοῦτο. Ὁ δὲ Διογένης τὸν ἀέρα, ἐπειδὴ οὗτος πλούσιός ἐστιν καὶ γόνιμος· τίκτει γὰρ ὄρνεα· καὶ εὐδιάπλαστος καὶ αὐτός· ὡς γὰρ θέλεις διαπλάττεις καὶ τοῦτον· ἀλλὰ καὶ εἷς ἐστιν οὗτος καὶ κινούμενος, καὶ οὐκ ἀΐδιος. Ἡράκλειτος δὲ καὶ Ἵππασος τὸ πῦρ ἐδόξασαν εἶναι ἀρχὴν πάντων τῶν ὄντων, ἐπειδὴ δραστικόν ἐστιν τοῦτο· δραστικὴ δὲ βούλεται εἶναι ἡ ἀρχὴ τῶν γινομένων ὑπ' αὐτὴν πλέον, ὡς δέ τινες λέγουσι, καὶ γόνιμόν ἐστιν τὸ πῦρ· γίνεται γὰρ ἐν τῷ ὑπεκκαύματι. Τὴν γὰρ γῆν οὐδεὶς ἐδόξασεν εἶναι ἀρχὴν, εἰ μὴ Ξενοφάνης ὁ Κολοφώνιος· διὰ δὲ τὸ μὴ εἶναι αὐτὴν γόνιμον, οὐδεὶς αὐτὴν στοιχεῖον ἐδόξασεν.

2.83 Καὶ ἀκριβούτω ὁ πάσης ἀρετῆς ἐντὸς γενόμενος τὸ τὴν γῆν μὴ δοξάζεσθαι ὑπὸ τῶν φιλοσόφων στοιχεῖον εἶναι, ὡς μὴ οὖσαν γόνιμον, καὶ ὧδε ἔχει λόγον εἰς τὸ ζητούμενον. Καὶ γὰρ Ἑρμῆς πού φησιν· «Παρθένος ἡ γῆ εὑρίσκεται ἐν τῇ οὐρᾷ τῆς παρθένου.» Μίαν δὲ κινουμένων ἄπειρον ἀρχὴν πάντων τῶν ὄντων δοξάζει Ἀναξιμένης τὸν ἀέρα. Λέγει γὰρ οὕτως· «Ἐγγύς ἐστιν ὁ ἀὴρ τοῦ ἀσωμάτου· καὶ ὅτι κατ' ἔκροιαν τούτου γινόμεθα, ἀνάγκη αὐτὸν καὶ ἄπειρον εἶναι καὶ πλούσιον διὰ τὸ μηδέποτε ἐκλείπειν. Ἀναξίμανδρος δὲ τὸ μεταξὺ ἔλεγεν ἀρχὴν εἶναι·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταξὺ δὲ λέγω τὸν ἀτμὸν ἢ τὸν καπνόν· ὁ μὲν γὰρ ἀτμὸς μεταξύ ἐστιν πυρὸς καὶ γῆς, καὶ καθόλου δὲ εἰπεῖν, πᾶν τὸ μεταξὺ θερμῶν καὶ ὑγρῶν ἀτμός ἐστι· τὰ δὲ μεταξὺ θερμῶν καὶ ξηρῶν, καπνός. Ἔλθωμεν δὲ ἐπὶ τὴν ἑκάστου τῶν ἀρχαίων οἰκείαν δόξαν, καὶ ἴδωμεν πῶς ἕκαστος βούλεται δοξάζειν, καὶ πρὸς τὸν ἴδιον σκοπὸν αἱρεσιαρχεῖν. Ἔνθεν γὰρ ἔνθεν ἔλλειψις γέγονεν 〈ἐκ〉 τῆς πολυπλόκου πλάνης. Ἀνακεφαλαιωσώμεθα τοίνυν μερικῶς καὶ δείξομεν πῶς ἐκ τῶν φιλοσόφων οἱ ἡμέτεροι φιλόσοφοι τὰς ἀφορμὰς λαβόντες συνέταξαν. Ζώσιμος τοίνυν, τὸ στέφος τῶν φιλοσόφων, ἡ ὠκεανόβρυτος γλῶσσα, ὁ νέος θεηγόρος, Μελίσσῳ τὸ πλεῖστον ἀκολουθήσας κατὰ τὴν τέχνην ὡς καὶ θεὸς εἷς, μίαν τὴν τέχνην ἔλεγεν εἶναι· καὶ ταῦτα ἐν μυρίοις τόποις πρὸς τὴν Θεοσέβειαν θεηγορεῖ, καὶ ἀληθὴς ὁ λόγος.

2.84 Θέλων γὰρ αὐτὴν ἐλευθερῶσαι τῆς πολυπληθείας τῶν λόγων καὶ τῆς ὕλης ἁπάσης, ἐπὶ τὸν ἕνα θεὸν καταφεύγειν παραινεῖ, καί φησιν· «Οἴκαδε καθέζου ἐπιγνοῦσα ἕνα θεὸν καὶ μίαν τέχνην, καὶ μὴ ῥέμβου ζητοῦσα θεὸν ἕτερον· Θεὸς γὰρ ἥξει πρὸς σὲ, ὁ πανταχοῦ ὢν, καὶ οὐκ ἐν τόπῳ ἐλαχίστῳ, ὡς τὸ δαιμόνιον. Καθεζομένη δὲ τῷ σώματι, καθέζου καὶ τοῖς πάθεσιν, καὶ οὕτως σαυτὴν διευθύνασα, προσκαλέσῃ πρὸς ἑαυτὴν τὸ θεῖον, καὶ ὄντως ἥξει πρὸς σὲ τὸ θεῖον τὸ πανταχοῦ ὄν. Ὅταν δὲ ἐπιγνῷς σαυτὴν, τότε ἐπιγνώσῃ καὶ τὸν μόνον ὄντως θεόν· καὶ οὕτως ἐνεργοῦσα ἐπιτεύξῃ τῶν γνησίων καὶ φυσικῶν, καταπτύουσα τῆς ὕλης.» Ὁμοίως καὶ ὁ Χήμης τῷ Παρμενίδῃ ἀκολουθήσας φησίν· «Ἓν τὸ πᾶν, δι' οὗ τὸ πᾶν· τοῦτο γὰρ εἰ μὴ ἔχοι τὸ πᾶν, οὐδὲν τὸ πᾶν.» Καὶ οἱ μὲν θεολόγοι ὡς πρὸς τὰ θεῖα, οἱ δὲ φυσικοὶ, ὡς πρὸς τὴν ὕλην, καὶ ὁ μὲν Ἀγαθοδαίμων ὡς πρὸς [τὸν Ἀναξιμένη ν] τὸν ἀέρα ἔλεγεν. Καὶ Ἀναξίμανδρος ἔλεγε τὰ μεταξὺ, τουτέστιν τὸν καπνὸν ἢ τὸν ἀτμόν. Ἀγαθοδαίμων γάρ· «Ὅλως αἰθάλη ἐστὶν,» ὥς φησιν ὁ Ζώσιμο ς . Καὶ τούτοις μᾶλλον ἠκολούθησαν οἱ πλεῖστοι τῶν ταύτην τὴν τέχνην φιλοσοφησάντων. Καὶ γὰρ Ἑρμῆς περὶ τοῦ καπνοῦ φησιν, ὡς δῆθεν περὶ τῆς μαγνησίας λέγων· «Ἄφες αὐτὴν, φησὶν, ἀπέναντι τῆς καμίνου καίεσθαι λεπύροις φοινίκων κωβαθίων· ὁ γὰρ καπνὸς τῶν κωβαθίων, λευκὸς ὢν, λευκαίνει τὰ σώματα· ὁ γὰρ καπνὸς μεταξύ ἐστιν θερμοῦ καὶ ξηροῦ· κἀκεῖ μὲν ἡ αἰθάλη, καὶ τὰ δι' αἰθάλης πάντα· ὁ δὲ ἀτμὸς μεταξύ ἐστιν θερμῶν καὶ ὑγρῶν.

2.85 Καὶ σημαίνει αἰθάλας ὑγρὰς, οἷον τὰ δι' ἀμβίκων καὶ τὰ τούτοις ὅμοια. Καὶ ἵνα τὸ μῆκος τῆς φράσεως παραιτησάμενος, σύντομόν σοι παράδοσιν ποιήσωμαι, πάντα τὰ διὰ τῶν ἀρχαίων ἀναφανδὸν εἰρημένα διαγορεύσω, ὦ γέννημα κλυτῶν Πιερίδων, (ἐννέα λέγω Μουσῶν), κεφαλὴ τῶν ῥητόρων· θεὸς γάρ σε προῆκεν ἐν τούτοις, μάθοις δι' εὐτελοῦς γραφῆς μέγιστα πράττειν. Ἐπαμφοτερίζειν γάρ σε πειρᾶται καὶ πρὸς μὲν θεοσέβειαν τοῖς ἄνω γνώριμον, πρὸς δὲ καλλιεργίαν τοῖς κάτω φιλάνθρωπον. Ἴσθι τοίνυν, ἴσθι ὡς πρὸς τὰ κελευσθέντα ὑπὸ σοῦ συντομίας χάριν, ὡς πρὸς τὰ ἐξ ἀρχῆς εἰρημένα συνάψω τὸν λόγον. Εἴρηται δὲ ὑμῖν, ὦ μέγιστοι, ὅτι διὰ τῶν τεσσάρων στοιχείων λελαλήκασιν οἱ ἀρχαῖοι. Ἴστε γὰρ ὅτι διὰ τῶν τεσσάρων στοιχείων τὰ τῇδε συνίστανται ξηρὰ καὶ ὑγρὰ, θερμὰ καὶ ψυχρὰ, ἄρρεν καὶ θῆλυ. Δύο ἀνωφερῆ, καὶ δύο κατωφερῆ· καὶ τὰ μὲν ἀνωφερῆ δύο, πῦρ καὶ ἀὴρ, τὰ δὲ κατωφερῆ δύο, γῆ καὶ ὕδωρ. Διὰ γοῦν τῶν τεσσάρων τούτων πᾶσαν συνιστήσαντο τὴν γραφὴν τῆς τέχνης, καὶ συνέκλεισαν μετὰ εὐόρκων θεσμοφορίων. Ἴστε γὰρ αὐτοὶ πάντα τὰ τοῦ καταλόγου ὅσα ἀπὸ τοῦ πυρὸς, καὶ ἀέρος, καὶ ὕδατος, καὶ γῆς συνέστηκεν. Ὅπως δὲ ἡ ἀκρίβεια τοῦ παντὸς σκευάζηται, εὔξασθε παρὰ Θεοῦ μαθεῖν, φησὶν ὁ Ζώσιμος · οἱ ἄνθρωποι γὰρ οὐ παραδιδόασι, καὶ .

2.86 ..... φθονοῦσι· καὶ ἡ ὁδὸς οὐχ εὑρίσκεται· σοφοὶ ζητοῦνται, καὶ αἱ γραφαὶ ἀδιάγνωστοι· καὶ πολλὴ ὕλη, καὶ πολλὴ ἀμηχανία γίνεται· καὶ εἰ μὴ πολλῷ μόχθῳ τὸ τοιοῦτον οὐκ ἐξανύεται, μάχη, καὶ βία, καὶ πόλεμος ἔσται. Καὶ ἐν τούτοις ὀλιγωρίαν ἐμβάλλει ὁ ὀφιοῦχος ὁ δαίμων, κωλύων ἡμᾶς τοῦ ζητουμένου, πανταχόθεν ἕρπων, ἔνδοθεν καὶ ἔξωθεν, ποτὲ ὀλιγωρίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσάγων, ποτὲ φόβον, ποτὲ ἀπροσδοκίαν, ἄλλοτε καὶ λύπαις πραγμάτων ποτὲ καὶ ζημίαις, ὡς καὶ ἀπαλλάττεσθαι ἡμᾶς. Ἀλλ’ ἐγὼ πρὸς αὐτὸν, ὡς δὲ ἂν καὶ ὑπάρχει ὁ δαίμων, οὐκ ἄν σοι παραχωρήσω. ἀλλ’ ἐμμενῶ ἕως ἂν τελεσιουργήσας, γνῶ τὸ ἀποτέλεσμα· οὐκ ἀποκάμνω ἔχων τὴν καρτερίαν ἀντιστρατευομένην σὺν βίῳ ἀγαθῷ καὶ ἀγνείαις ἐνφιλοσόφοις. Τοίνυν τῶν σοφῶν ἀναλεξάμενος τὰ χρήσιμα, ὡς ἐξ ὑπαρχῆς ἐκ τῶν ἀρχαίων σοι παραστήσω· οὐ γὰρ ξενοφωνεῖται ἡ ὑμετέρα ἀγχίνοια παρὰ τῶν μυρίων εἰδῶν ὧν καταλέγουσιν οἱ ἀρχαῖοι, ὑγρῶν τε καὶ στερεῶν. Ἐν τούτοις χρωμάτων διαφόρων ὠμῶν ἔτι αὐτῶν ὄντων, καὶ ὀπτῶν, καὶ ἐν τῷ ὀπτᾶσθαι, χρώματα ἀναδεικνυόντων καὶ τηρουμένων ἐν ταῖς ὀπτήσεσι πρὸς τὸ μὴ ἐναλλάσσειν τὰ χρώματα, ποῦ μὲν λαύρῳ πυρὶ, ποῦ δὲ πραέῳ, καὶ πολλὴν παρατήρησιν εἰσιόντων τῇ τέχνῃ. Ταῦτα δέ μοι εἴρηται διὰ τὸ γιγνώσκειν ὑμὰς ὅτι αἱ μυρίαι τάξεις, ἃς ἐκτίθενται οἱ ἀρχαῖοι διὰ τούτων καὶ ἄλλων μυρίων παρέρχονται λειώσεων ἢ ἑψήσεων ἢ σήψεων διαφόρων, θερμῶν καὶ ψυχρῶν, δροσισμῶν, αἰθριάσεων, καὶ ἄλλων μυρίων.

2.87 Καὶ τῇ πολυπληθείᾳ τῶν λόγων καὶ ταῖς ἀφάτοις οἰκονομίαις συγχεῖται ὁ νοῦς τῶν προσπελαζόντων τῇ τέχνῃ ταύτῃ. Καὶ τούτων ἁπάντων ἐλευθέρους ὑμᾶς κατέστησεν ὁ Θεὸς ὁ πάντων τῶν ἀγάθων δοτήρ. Ἄκουε τοίνυν, ὁ ἔνθεος νοῦς, ὅτι ὡς πρὸς Αἰγυπτίους γεγραφήκασι, καὶ οὐκ ἐξέρχονται τοῦ ζητουμένου. Καὶ μυρία χρυσωρυχεῖα γεγραφήκασι, ἀλλὰ καὶ ἱεράτευσαν αὐτὰ, καὶ μέτρα δεδώκασι τῶν ὀρυγμάτων καὶ τῶν διαστημάτων, ἀλλὰ καὶ θέσεις τῶν ἱερῶν τῆς εἰσβάσεως αὐτῶν πρὸς τὰ τέσσαρα κλίματα ἀφορῶντες, ποῦ μὲν τὴν ἀνατολὴν διαδόντες τῇ λευκῇ οὐσίᾳ, τὴν δὲ δύσιν τῇ ξανθῇ· καὶ τὰ χρυσωρυχεῖα τοῦ ἀρσενοήτου ἐν τῇ ἀνατολικῇ θύρᾳ, τουτέστιν ἐν τῇ εἰσβολῇ τοῦ ἱεροῦ εὑρίσκεις λέγοντα τὴν λευκὴν οὐσίαν· ἐν δὲ σκίθῃ καὶ ἐν Τερενούθι, ἐν τῷ ἱερῷ τῆς Ἴσιδος, ἐν τῇ δυτικῇ εἰσβολῇ τοῦ ἱεροῦ, εὑρήσεις ξανθὴν ψάμμον μετὰ ὀρύγματος πηχῶν τριῶν, ποῦ δὲ πήχεως ἥμισυ.

2.88 Εἰς τὸ ἥμισυ τῶν τριῶν πηχῶν εὑρήσεις ζώνην μέλαιναν· ἄρας οἰκονόμει καὶ ἀλλαχοῦ χλωράν· καὶ ἐν τῷ ἀπηλιώτῃ καὶ τῷ λιβυκῷ ὄρει γεγραμμένα χρυσωρυχεῖα, πάντα ἐν μυστηρίῳ εἰρημένα. Καὶ μὴ παραδράμῃς· μέγαλα μυστήριά εἰσι. Παρατήρει ὅτι ἀληθῆ πεφανέρωται πάντα. Ἐντεῦθεν τὴν ἀρχὴν τῆς ἐργασίας ποιεῖται· διὸ καὶ εἶπεν ὅτι τῇ ἀνατολῇ διδόντες τὴν λευκὴν οὐσίαν, τουτέστιν τὴν ἀρχὴν τῆς ἐργασίας ἀπονέμοντες τῇ ἀρχῇ τῆς ἡμέρας ἥτις ἐστὶν τοῦ ἡλίου ὑπὲρ γῆν ἀνατολή. Δῆλον γὰρ ὅτι ἡ λεύκωσις, ὡς πρὸς τὴν ξάνθωσιν, ἀρχὴ τῆς ὅλης ἐργασίας ἐστίν· εἰ καὶ οὐκ εὐθὺς παρ’ αὐτὰ ἀρχομένη ἡμῖν αὐτὴ γίνεται ἕως ἂν ἡ χωρὶς πυρὸς σῆψις γένηται. Ἀλλ’ ἱερεῖ πῶς ἔχομεν νοεῖν λέγεσθαι παρὰ τὴν ἀρχὴν τὸν πρὸ τῆς λευκώσεως καιρὸν, ἄκουε τοίνυν τοῦ Ἀπόλλωνος λέγοντος· «Οἰκονομηθεῖσα, ἕωθεν λαμβανομένη.»· Τὸ δὲ «ἕωθεν» δηλονότι πρὸ τῆς ἀνατολῆς ἐστιν ἡ πρὸ τῆς λευκώσεως τοῦ ἔργου παντὸς καταρχή. Εἶτα τὴν τοῦ παντὸς ἔργου τελείωσιν (λέγω δὲ τὴν ξάνθωσιν) τῇ δύσει ἀπένειμεν, ἥτις ἐστὶ πλήρωμα τῆς ὅλης ἡμέρας· Τὸ δὲ «εἰς τὸ ἥμισυ τῶν τριῶν πηχῶν, εὑρήσεις ζώνην μέλαιναν» εἴρηται περὶ τῶν θειωδῶν, τουτέστιν τοῦ μολύβδου ἡμῶν, τοῦ μετὰ τὴν λεύκωσιν εὐθέως διὰ τῆς θερμῆς σήψεως καὶ πήξεως κατασπωμένου σκωριδίου, εὐτελοῦς τῷ εἴδει· ὃν, φησὶν, ἐπεθύμησαν ἰδεῖν οἱ Αἰγυπτίων προφῆται. Καὶ ὅρα ὅτι ὁ σκοπὸς οὗτος ὁ τῶν ψάμμων ἀλληγορία ἐστὶν, οὐχὶ τὴν ψάμμον αἰνίττονται, ἀλλὰ τὰς οὐσίας.

2.89 Πόθεν δὲ στηριζόμεθα ὅτι ἡ ἀνατολὴ τῷ ἄρρενι ἀπενεμήθη, ἡ δὲ δύσις τῇ θηλείᾳ; καὶ ἐκ τοῦ Ἀδάμ· οὗτος γὰρ πάντων ἀνθρώπων πρῶτος ἐγένετο ἐκ τῶν τεσσάρων στοιχείων. Καλεῖται δὲ καὶ παρθένος γῆ, καὶ πυρὰ γῆ, καὶ σαρκίνη γῆ, καὶ γῆ αἱματώδης. Ταῦτα δὲ εὑρήσεις ἐν ταῖς Πτολεμαίου βιβλιοθήκαις. Ταῦτα δέ μοι ἐρρέθη· ὡς διὰ τὸ παραστῆσαι περὶ τῶν ἱερῶν, ὅτι οὐκ ἀλόγως ἐρρέθη τοῖς ἀρχαίοις τι τῶν ὄντων. Τῇ δὲ θηλείᾳ ἡ δύσις· Καὶ Ζώσιμος ἐν τῇ κατ’ ἐνέργειαν βίβλῳ τοῦ λόγου· ὅτι ἀληθῆ σοι προσφωνῶ μάρτυρα καλῶ Ἑρμῆν λέγοντα· «Ἄπελθε πρὸς Ἀχαὰβ τὸν γεωργὸν, καὶ μαθήσῃ ὡς ὁ σπείρων σῖτον σῖτον γεννᾷ. Οὕτω γάρ σοι κἀγὼ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλεγον τὰς οὐσίας ἀπὸ τῶν οὐσιῶν βάπτεσθαί φησιν ἡ γραφή· τὸ δὲ βάπτεσθαι εἰς οὐδὲν ἄλλο διαιρεῖται, εἰ μὴ εἰς σῶμα καὶ ἀσώματον. Ἡ δὲ τέχνη αὕτη ἀμφότερα δέχεται.» Τὰ μὲν σώματα λέγει εἶναι τὰ χυτά, τὰ δὲ ἀσώματα, λίθους· οἷον ἀνούσια λέγει τὰς ψάμμους· τὰ δὲ χωρὶς πυρὸς, διὰ τὴν πρώτην ἐργασίαν. Πελάγιός φησιν πρὸς τὸν Παύσηρην· «Θέλεις ἵνα βάλωμεν αὐτὸν εἰς τὴν θάλασσαν πρὶν ἢ συλλάβῃ τὰ μίγματα;» Καὶ φησὶν ὁ Ἑρμῆ ς· «Καλῶς ἔφης καὶ ἀκριβέστατα»· Ἡ δὲ θάλασσά ἐστιν, ὥς φησιν ὁ Ζώσιμος, ἀρρενόθηλυς. Ὅτι οἰκονομηθεῖσά ἐστιν ἕωθεν λαμβανομένη, ἔχουσα ἔτι τὴν δρόσον ἐν ἑαυτῇ· ἀνατείλας γὰρ ὁ ἥλιος ἀρύεται διὰ τῶν ἀκτίνων αὐτοῦ τὴν ἐπικειμένην αὐτῇ πρὸς τροφὴν δρόσον.

2.90 Καὶ εὑρίσκεται, ὥσπερ χῆρα καὶ ἄνανδρος, ὥς φησιν καὶ Ἀπόλλων · τὸ θεῖον ὕδωρ, τὴν ἐμὴν δρόσον λέγω, τὸ ἀέριον ὕδωρ. Καὶ ἰδοὺ πόσαι μαρτυρίαι ὅτι πρῶτον ὑγροῦ τινος δεῖται τὸ αὐτὸ σύνθεμα· ἵνα, φησὶν, ἡ ὕλη φθαρεῖσα ἀμετάτρεπτον τὸ εἶδος φυλάξῃ. Καὶ ἐκ τοῦ «φθαρεῖσα» ἐσήμανεν ὅτι χρόνου τινὸς δεῖται εἰς τὸ σήπεσθαι· σῆψις γὰρ οὐ γίνεταί ποτε εἰ μὴ δι' ὑγροῦ τινος. Ὁ γὰρ κατάλογος τῶν ὑγρῶν, φησὶν, ἐπιστεύθη τὸ μυστήριον. Περὶ δὲ τῶν ψάμμων, ὅτι περὶ αὐτῶν πάντες οἱ ἀρχαῖοι φροντίζουσι· καὶ ὅτι πρὸς Αἴγυπτον ποιοῦνται τὸν λόγον, παραθήσω πάλιν ἐξ αὐτῶν μαρτυρίας χάριν τῆς σῆς δυσπιστίας. Ζώσιμος τοίνυν ἐν τῇ τελευταίᾳ ἀποχῇ, πρὸς Θεοσέβειαν ποιούμενος τὸν λόγον, φησίν· «Ὅλον τὸ τῆς Αἰγύπτου βασίλειον, ὦ γῦναι, ἀπὸ τῶν τριῶν κ. τ. λ. Μόνοις δὲ Ἰουδαίοις ἐξὸν ἦν λάθρα ταῦτα ποιεῖν καὶ γράφειν, καὶ ἐκδιδόναι. Διὸ καὶ εὑρίσκομεν Θεόφιλον τὸν Θεογένους γράψαντα ὅλα τὰ τῆς χωρογραφίας χρυσωρυχεῖα, καὶ Μαρίας τὴν καμινογραφίαν, καὶ ἄλλους Ἰουδαίους. Καὶ Συνέσιος πρὸς Διόσκορον γράφων φησὶ περὶ τῆς ὑδραργύρου τῆς ἐτησίας τῆς νεφέλης, ἐπειδὴ οἴδασιν αὐτὴν πάντες οἱ ἀρχαῖοι λευκὴν καὶ φευκτὴν καὶ ἀνυπόστατον, δεχομένην δὲ πᾶν σῶμα χυτὸν καὶ εἰς ἑαυτὴν ἕλκουσαν, ὡς καὶ ἡ πεῖρα ἐδίδαξεν, καὶ φησὶν οὕτως· «Ἐὰν βούλῃ τὸ ἀκριβὲς γνῶναι κ.

2.91 τ. λ. ..... «Καὶ διὰ τοῦτο Πηβίχιος πολλὴν συγγένειαν ἔχειν ἔλεγεν. — Καλῶς ἐδίδαξας, φιλόσοφε.» Τούτων πλέον τί ἔχομεν ἀκοῦσαι; Ὡς ὅτι ἡ ὑδράργυρος φιλοτεχνουμένη ὑποστατικὴ γίνεται, ἀνυποστάτου αὐτῆς οὔσης συμμεταβαλλομένη παντὶ σώματι χυτῷ; ἀπὸ ἀφυΐας δὲ γινομένη φευκτὴ γίνεται. Οὕτως καὶ ἡ ἡμῶν μαγνησία, ἢ τὸ στίμμι, ἢ οἱ πυρίται, ἢ ψάμμοι, ἢ ὅσα φημίζουσιν ἡμῖν σώματα κατασπώμενα νιτρελαίῳ ἢ αὐτοματαρείῳ ἢ φυσητηρίῳ ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοιεν, κατασπώμενα ὑπὸ εὐφυΐας ἐκτεφροῦνται. Καὶ γὰρ σῶμα ὑποστατικὸν, ὁ φημιζόμενος παρ' αὐτοῖς μόλυβδος μέλας, ὃν ἐπεθύμησαν εἰδέναι οἱ Αἰγυπτίων προφῆται, καὶ οἱ τῶν δαιμόνων χρησμοὶ ἐξέδωκαν, σκωρίδια καὶ τέφραι Μαρία ς . Ἐξ ἀρχῆς γὰρ αὐτὰ ἴσασιν εἶναι. Διὰ τοῦτο μέλανσις· καὶ ἐν τῇ ἐργασίᾳ, ἀπομέλανσις, ἤτοι λεύκωσις· οὐδὲν γὰρ ἄλλο σημαίνει ἡ λεύκωσις, εἰ μὴ τὸ ἐκμελανίσαι κατὰ στέρησιν τοῦ μέλανος. Καὶ ὅρα ἀκρίβειαν, ὦ σοφέ. Ὧδε γὰρ ἔχεις πάντα τὸν μόχθον αἰχμαλώτου· ὧδε ἔχεις τὸ ἀπ' αἰῶνος ζητούμενον· οἶδα σοῦ τὸ ἀνεξίκακον τῆς σοφίας. Τοσαύτη κλεῖς λόγου τῆς ἐγκυκλίου τέχνης ἡ σύνοψις. Μὴ παραδράμῃς τι τῶν ἐνθάδε· ἀνοίξει γάρ σοι πύλας τοῦ θεωρητικοῦ καὶ πρακτικοῦ, γνοὺς ὅτι τὰ σκωρίδιά εἰσιν τὸ ὅλον μυστήριον· ὅλοι γὰρ εἰς αὐτὰ κρέμανται καὶ ἀποβλέπουσι· καὶ τὰ μυρία αἰνίγματα εἰς αὐτὰ ἀνατρέχει· καὶ αἱ βίβλοι αἱ τοσαῦται αὐτὰ αἰνίττονται· λεύκωσιν γὰρ καὶ ξάνθωσιν ὑποτίθενται.

2.92 Δύο γάρ εἰσιν ἄκρα χρώματα, λευκὸν καὶ μέλαν· καὶ τὸ μὲν λευκὸν διακριτικόν ἐστιν, τὸ δὲ μέλαν συνεκτικόν. Καὶ τοῦτο Ζώσιμος αἰνιττόμενός φησιν· «Τὴν κόρην τοῦ ὀφθαλμοῦ παραφέρει καὶ τὴν ἶριν τὴν οὐρανίαν». Καὶ οὐκ αἰσθάνονται οἱ ἀνόητοι τί ἐστιν τὸ διακριτικὸν καὶ συνεκτικόν. Τὸ μὲν γὰρ συνεκτικὸν καὶ συνεχόμενον εἰς αὐτὸ πυκνόν ἐστιν κατακομιζόμενον ὑπὸ τῶν ἰδίων σωμάτων. Κατακομίζεται γὰρ ὑπὸ τῆς ὑγρᾶς οὐσίας καθελκομένη ἡ φύσις τοῦ μολύβδου, ὥς φησιν ὁ ἔνθεος Ζώσιμος, πάσης ἀληθείας ἐστήρικται

γνώσεως θεοῦ· καὶ τὸν ἀόρατον κόσμον μηκέτι ἐν ἑαυτῇ ἐπιδεικνύουσα, τουτέστιν ἡ ψυχὴ ἄλλως ἐν ἄλλῳ σώματι τοῦ ἀργύρου ἐπιδεικνύει, ἐν τῷ ἀργύρῳ τὸ πυρροῦν αἷμα, τουτέστιν τὸν χρυσόν. Ὦ ἀφθόνως ἔχων φίλε μοι, στῆσον ὡς ἐν παρατάξει τὸν σὸν λόγον, ἀμυντηρίοις χρώμενος τῆς σῆς καλοκαγαθίας· τὸ πρᾷον καὶ ἀνεξίκακον πρὸς τὸ ῥᾴθυμον τῆς πολυφλοίσβου σπουδῆς, οὐ τὴν σπουδὴν λοιδορῶν μὴ γένοιτο, ἀλλὰ τὸ ῥᾴθυμον τῆς σπουδῆς. Τοίνυν τὸ διακριτικόν ἐστιν τὸ λευκόν· τὸ γὰρ λευκὸν χρῶμα οὐ λέγεται κυρίως· πᾶν γὰρ χρῶμα δέχεται καὶ διακρίνει· τὸ γὰρ μέλαν χρῶμά ἐστι κυρίως, καὶ τοῦ μέλανος πολλαὶ διαφοραί.

2.93 Καὶ περὶ χρωμάτων διαλεγόμενοι, συγχεῖται ὁ νοῦς τῶν ἀμυήτων· ἀλλ' ἡμεῖς μὴ μεταβῶμεν τῶν λογισμῶν. Μέλανα γὰρ οἴδασιν οἱ ἀρχαῖοι τὸν μόλυβδον. Ἔστι δὲ ὁ μόλυβδος ὑγρᾶς οὐσίας· καὶ βλέπε ἀκρίβειαν διὰ τὸ λέγειν ἡμᾶς ἀνωτέρω περὶ τῆς καθελκομένης ψυχῆς ὑπὸ τῆς ὑγρᾶς οὐσίας. Τῷ βάρει γὰρ καταδύεται καὶ ἐφέλκεται εἰς ἑαυτὴν πάντα. Καὶ ὧδε ἔχεις πάντα τὰ φημιζόμενα μυστήρια. Καὶ δέον πρῶτον παραθέσθαι μαρτυρίας ὀλίγας, καὶ πάλιν εἰς τὸ ἡμέτερον ἐπανιέναι. Ἡ Μαρία τοίνυν ἐξ ἀρχῆς μέλανα μόλυβδον ὑποτίθεται, καί φησιν· «Ἐὰν ὁ μόλυβδος ἡμῶν μέλας γένηται, ἰδοὺ γεγένηται· ὁ γὰρ μόλυβδος ὁ κοινὸς ἐξ ἀρχῆς μέλας ἐστίν». Οὐκοῦν οὐ περὶ μολύβδου κοινοῦ λέγει, ἀλλὰ τοῦ γινομένου. Καὶ «πῶς γίνεται; φησὶν ἡ Μαρί α. Ἐὰν μὴ τὰ σώματα ἀσωματώσῃς καὶ τὰ ἀσώματα σωματώσῃς, καὶ ποιήσῃς τὰ δύο ἓν, οὐδὲν τῶν προσδοκωμένων ἔσται.» Καὶ ἀλλαχοῦ· «Ἐὰν μὴ τὰ πάντα τῷ πυρὶ ἐκλεπτυνθῇ, καὶ ἡ αἰθάλη πνευματωθεῖσα βασταχθῇ, οὐδὲν εἰς πέρας ἀχθήσεται.» Καὶ ἀλλαχοῦ· «Ὁ χαλκομόλυβδος ἐτήσιος λίθος.» Ἐξίσου τὰ πάντα ὁμορρευστήσαντα χρύσοπτα πάντα ποιεῖ· δυνάμει τὰ ὠμὰ ὀπτὰ ποιεῖ, τὰ ὀπτὰ διπλοῖ· εἰ δὲ καὶ λευκάναι εὕροις ἢ ξανθῶσαι. οὐκέτι δυνάμει, ἀλλὰ καὶ ἐνεργείᾳ. «Ἐγὼ δὲ λέγω αὐτὸν, φησὶν ἡ Μαρί α , χαλκὸν μόλυβδον εἶναι διὰ οἰκονομίας ὄντα.» Ἡ οὖν οἰκονομία τῶν σκωριδίων, ἡ διδαχὴ ἐστιν αὕτη. Ἐτήσιον ἢ λιθοφρύγιον ὄξυνε· προκατάβαπτε, χλιάνας, λείου καὶ ἔχε.

2.94 Καὶ Δημόκριτος · «Ἀπὸ στίμμεως καὶ λιθαργύρου κατάσπα μόλυβδον.» Καὶ παρεγγυᾶται, οὐχ ἁπλῶς λέγων, ἵνα μὴ πλανηθῇς, ἀλλὰ μέλανι τῷ ἡμῶν. Καὶ Ἀγαθοδαίμων διὰ μολύβδου τοῦ ἡμῶν ποιεῖται τὰς ἰώσεις, καὶ σκευάζει μέλανα ζωμὸν ἀπὸ μολύβδου λειῶν καὶ ἐξ ὑδάτων διὰ τὸ ψαφαρωθῆναι τὸν χρυσόν. Ἰδοὺ ὅλως σκευάζουσιν μέλανα μόλυβδον· ὡς γὰρ εἶπον, ὁ κοινὸς μόλυβδος ἐξ ἀρχῆς μέλας ἐστίν· ὁ δὲ ἡμέτερος γίνεται μέλας, μὴ ὄντος αὐτοῦ τοιούτου. Ἡ πεῖρα διδάσκαλος, πάλιν τε ἀληθεῖς ἀποδείξεις καὶ πιθανὰς συνάδειν τῷ προκειμένῳ, καὶ εἰς τὸ πρότερον ἡμέτερον ἐπανιέναι πειρῶμαι. Οὐ γὰρ, ὥς φησιν, ὁ ἄσημος γίνεται χρυσὸς, μὴ γένοιτο, ἀλλ' ἡ ἐργασία ἐστίν. Οὐ γὰρ ἐκφαυλίζειν δίκαιον τοὺς ἀρχαίους· «τὸ μὲν γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ.» Τοῦτο συνᾴδει καὶ πᾶσι τοῖς λεγομένοις ὑπὸ τῶν ἀρχαίων τῶν εἰς ταῦτα ἠσχολημένων, τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον τοῖς ἐρωτήσασιν αὐτὸν μὴ λογιζομένων. Εἰ καὶ τὴν κεκρυμμένην τέχνην τῆς χυμείας ἐπίσταται, φησὶν πρὸς αὐτοὺς ὅτι «πῶς μεταβολὴν νῦν ὁρῶ; πῶς τὸ ὕδωρ καὶ τὸ πῦρ, ἐχθρὰ καὶ ἐναντία ἀλλήλοις καὶ 〈πρὸς τὴν〉 ἀντιπαράθεσιν πεφυκότα εἰς τὸ αὐτὸ συνῆλθον ὁμονοίας καὶ φιλίας χάριν» καὶ τὰ ἑξῆς. Ὢ παραδόξου κράσεως! πόθεν ἥτις ἡ τῶν ἐχθρῶν ἀπροσδόκητος φιλία; Πάλιν οἱ χρησμοὶ τοῦ Ἀπόλλωνος συνηγοροῦσι· ταφὴν γὰρ, Ὠσίρεως ὑποτίθενται. Ἡ δὲ ταφὴ τοῦ Ὠσίρεως τί ἐστιν; Νεκρός ἐστιν κηρίαις κατισχημένος, τὸ πρόσωπον μόνον γυμνὸν ἔχων.

2.95 Καί φησιν ἑρμηνεύων ὁ χρησμὸς τὸν Ὤσιριν· «Ὤσιρίς ἐστιν ἡ ταφὴ ἐσφιγμένη, κρύπτουσα πάντα τὰ Ὠσίριδος μέλη, μόνον πρόσωπον ἐμφαίνουσα τοῖς βρότοις, τὰ δὲ σώματα κρύψασα ἐθάμβησεν ἡ φύσις· αὐτὸς γὰρ ἀρχὴ ὑγρᾶς οὐσίας πάσης, κάτοχος ὑπάρχων ταῖς τοῦ πυρὸς σφαίραις. Αὐτὸς τοίνυν συνέσφιγξεν μολύβδου τὸ πᾶν.» Καὶ τὰ ἑξῆς. Καὶ ἄλλος χρησμὸς αὐτοῦ οὕτως φησίν· «Χρυσόλιθον λάβε, ὃν καλοῦσιν ἄρρενα τὸν χρυσοκόλλης καὶ ἄνδρα συμπεφυρμένον. Σταγόσιν γὰρ αὐτοῦ τίκτει τὸ χρυσίον Αἰθιοπίδος γῆς. Ἔνθα μυρμήκων γένος

χρυσόν τε ἐκφέρει, καὶ ἀνάγει, καὶ τέρπεται. Καὶ θὲς σὺν αὐτῷ γυναῖκα ἀτμίδος ἕως ἐκστραφῇ· ὕδωρ δὲ θεῖον πικρόν· εἰ δὲ ἐστυμμένον, ἢ καὶ ἰῶνται κύπριον καὶ Αἰγυπτίας χρυσοβοστρύχου χυλόν· χρίε πέταλα τῆς φαεσφόρου θεᾶς καὶ κυπρίδος πυρρᾶς τε. Καὶ χώνευε χρυσὸν ἀγκαλούμενος. Πάλιν Πετάσιος ὁ φιλόσοφος περὶ τῆς καταρχῆς τοῦ ἔργου συνάδει τοῖς εἰρημένοις περὶ τοῦ μολύβδου τοῦ ἡμῶν, καί φησιν· «Ἡ τοῦ πυρὸς σφαῖρα κατέχεται καὶ σφίγγεται διὰ τῆς μολύβδου. Καὶ αὐτὸς ἑαυτὸν ἑρμηνεύων φησίν· «Τουτέστιν ἀπὸ τοῦ ἐρχομένου ἀπὸ τοῦ ἀρρενικοῦ ὕδωρ.» Ἔστι δὲ τὸ ἀρρενικὸν ὅπερ εἶπεν σφαῖραν τοῦ πυρός. Τοσαύτης δὲ δαιμονιοπληξίας καὶ ἀναιδείας τὸν μόλυβδον 〈εἶναι〉 εἶπεν ὅτι οἱ θέλοντες μαθεῖν μανίαν περιπίπτουσι διὰ τὴν ἄγνοιαν. Ἰδοὺ ἐξ ἀρχῆς εἰρημένον περὶ τῶν στοιχείων, καὶ ἐνταῦθα δημηγόρειται.

2.96 Τὸν γὰρ μόλυβδον εἶπον ὠὸν τὸ ἐκ τῶν τεσσάρων σωμάτων, ὥς πού φησιν ὁ Ζώσιμο ς . Τὸ δὲ πᾶν τῷ μολύβδῳ καταλήγει· οἷον γὰρ εἶδος καταλέγουσιν, τὸ ὅλον αἰνίττονται· τὰ δὲ τέσσαρα ἕν, φησὶν ἡ Μαρί α . Ἐὰν γὰρ ψάμμους ἀκούσῃς, τὰ εἴδη νόει· ἐὰν δὲ εἴδη ἀκούσῃς, τὰς ψάμμους νόει. Τὰ γὰρ τέσσαρα σώματα ἡ τετρασωμία ἐστίν· περὶ ἧς τετρασωμίας φησὶν ὁ Ζώσιμος · «Εἶτα οὕτως ἡ τάλαινα ἐν σώματι τετραστοίχῳ πεσοῦσα ἢ καὶ πεδηθεῖσα, εὐθέως καὶ χρώμασιν ὑποπίπτει οἷς βούλεται ὁ τῇ τέχνῃ πεδήσας ἢ λευκὸν, ἢ ξανθὸν, ἢ μέλαν αὐτὴν, ἢ μέλανι ἢ λευκῷ, ἢ ξανθῷ. Εἶτα ὑποδεξαμένη τὰ χρώματα καὶ κατ᾽ ὀλίγον ἡβῶσα ἕως γήρους ἔρχεται καὶ τελευτᾷ ἐν τῷ τετραστοίχῳ σώματι, τουτέστιν χαλκῷ, σιδήρῳ, κασσιτέρῳ καὶ μολύβδῳ, καὶ συντελευτᾷ ἐν τῇ ἰώσει, τούτοις ὡς φθειρομένη, καὶ μάλιστα τότε μὴ δυναμένη φεύγειν· ἅτε δὴ συμπλακεῖσα αὐτοῖς, καὶ μὴ δυναμένη φεύγειν. Πάλιν μετ᾽ αὐτῶν ἀντεπιστρέφει, συνδεδεμένον ἔχουσα τὸν διώκοντα καὶ ἔξωθεν ὑπὸ ὀργάνου κυκλικοῦ.» Τὸ δὲ ὄργανον τὸ κυκλικὸν τί ἐστιν; ἢ τὸ πῦρ καὶ σφαιροειδοῦς τῆς φιάλης ἀνεξόδευτον ἔχει τῆς φυγῆς τὸ αἴτιον, ὥσπερ ἐν νόσῳ τοῦ προτέρου αἵματος φθαρέντος, καὶ ἐν τῇ ἀναλήψει νέον αἷμα γεννήσασα ἐπιδεικνύει ἐν τῷ ἀργύρῳ τὸ πυρρὸν αἷμα, τουτέστιν χρυσόν. Ἰδοὺ πᾶσαι μαρτυρίαι κατὰ τὸ δυνατὸν 〈ἀντὶ〉 τῶν πολλῶν ὁμιλιῶν ἐκκόψας ὡς διὰ τὸν χάρτην, οὐχ ὅτι σπανιοῦμεν τοῦ χάρτου: ποῖος γὰρ χάρτης δυνήσηται τὰς τηλικαύτας δυνάμεις τῶν ἐγκωμίων τῆς τέχνης; Τοσοῦτον δέ μοι χάρτην ἑτοίμασον ὅσος καὶ πηλίκος ἐστὶν ὁ οὐρανὸς, ἵνα κἄν τι μόριον δυνήσωμαι ἐντάξαι ὅσον κατὰ τὴν ἔνσωμον ὕλην.

2.97 Τοῦ γὰρ τελείου καὶ ἀρρήτου νοῦ ὁμοίωμά ἐστιν. Διὸ γυμνάζεσθαι ὀφείλομεν, κατὰ τὸν θεῖον Δημόκριτον · (ἀφομοίωσίς ἐστιν.) «Διὸ γυμνάζεσθαι ὀφείλομεν καὶ συνετὸν καὶ ὀξὺν ἔχειν τὸν νοῦν». Καὶ ὁ Ζώσιμός φησιν· «Εἰ μὲν γυμναζόμενος ἐπέτυχες, ἔσχες τῶν γυμνασίων τὸν κάματον· ἡ γὰρ τέχνη, φησὶν, νοὸς χρῄζει, καὶ γίνεται. Καὶ ὅρα ὅτι πάντα εὐσύνοπτά σοι καθέστηκεν, ἀναλεξάμενος ἀπὸ τῶν ἐξ ἀρχῆς εἰρημένων, ἀναλογίαν ποιούμενος τῶν παρατεθέντων σοι πάντων. Τὸ γὰρ εἰρηκέναι αὐτοὺς περὶ ὑγρῶν οὐσιῶν καὶ ξηρῶν πλάνην ποιεῖ τοῖς ἐντυγχάνουσιν. Τὸ γὰρ ὑγρὸν διττῶς νοεῖται· τὸ μὲν γὰρ κυρίως ὑγρόν ἐστιν, ὡς τὸ ὕδωρ· τὸ δὲ πάλιν ὑγρὸν καλεῖται παρὰ τοῖς τεχνίταις τὸ τραυλὸν τῶν λίθων. Καὶ δύο ἐναντία κατὰ ἑνὸς ἐκφέρεσθαι ἀμήχανον. Καὶ ὧδε ἐστὶν τὸ ἀληθὲς εἰρημένον ὑπὸ Πετασίου τοῦ φιλοσόφου· «Τοσαύτης δαιμονοπληξίας καὶ αὐθαδείας τὸν μόλυβδον ὄντα φησὶν ὅτι οἱ θέλοντες μαθεῖν μανίας περιπίπτουσιν, ἀλλ᾽ οὐ νοΐ. Ἀγαθὲ, μοὶ λάμψον τοῖς ἐσκοτισμένοις φῶς. Ὅμως οἰχήσεται πᾶν ψεῦδος. Οἴδασι γὰρ οἱ ὄντες τῆς ἀφθονίας ἀρχηγοὶ πάντα ἀληθῆ· ἀλλὰ συγγνώμης τύχω· δυνατὸν γὰρ τὸ ἐμὸν ἁμάρτημα δι᾽ ὑμῶν κατορθοῦσθαι, καὶ γενέσθαι πάλιν κάλυμμα οἷς οὐ θέμις. Τὰ γὰρ μολύβδῳ τὰ δύο ἐναντία ἀνατίθησιν, ἐπεὶ ὑγρός ἐστιν καὶ ξηρὸς κατὰ τὴν αἴσθησιν.

2.98 Καὶ τὰ τρία ἔχει ἐν ἑαυτῷ· ἔστιν γὰρ λευκὸς καὶ ξανθὸς καὶ μέλας ἀλλὰ καὶ ὑγρός. Ἰδοὺ τέσσαρα γίνονται καὶ χρώματα τοῦ ξανθοῦ διάφορα. Ἔχει καὶ δύο οἰκονομίας. Καὶ δικαίως ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῷ ἀνατίθησι τὴν τέχνην, καὶ ψεῦδος αὐτῷ προσκυροῦσιν τὸ ὑποκριτικὸν, τὸ φαινόμενον, ὡς ἀλήθεια, τουτέστιν τὸ αὐτὸ ἀστέρι. Καὶ διὰ τὴν τοιαύτην αὐτοῦ φύσιν οἱ πλεῖστοι τῶν ἀρχαίων εἰς αὐτὸν ἀνατιθέασιν τὴν τέχνην, ὥς φησιν ὁ Ζώσιμος · «Τὸ δὲ πᾶν τῷ μολύβδῳ καταλήγει.» Καὶ ἀλλαχοῦ· «Ὁ δὲ μόλυβδός ἐστιν ἡμῶν ἡ μαγνησία, ὑγροῦ αὐτοῦ ὄντος κατὰ τὴν φύσιν.» Ἀλλὰ καὶ τὸ σκωρίδιον αὐτοῦ ἔοικεν αὐτῷ τῷ σκωριδίῳ τῷ ἐκφερομένῳ διὰ τῆς χωνείας τῆς χρυσάμμου. Διὰ τοῦτο καὶ μάλιστα εἰς αὐτὸν ἀνατιθέασιν τὴν τέχνην. Δεῖ οὖν τὸ σῶμα τοῦ σκωριδίου τὸ πᾶσι τοῖς θεωμένοις ἄποιον καὶ εὐτελὲς καὶ καταφρονούμενον εἰς αὐτὸ προσκυρῶσαι τὰ εἰρημένα ἐγκώμια καὶ σὺν πᾶσι τοῖς ἀρχαίοις δοξάσαι, καὶ αὐτῷ τὸ κλέος ἀναπέμπειν, καὶ τοῦτο τεχνιτεύειν. «Καὶ ἵνα μὴ ὑπὸ τῆς ἀπειρίας δειλανθῇς, φησὶν ὁ Ζώσιμο ς , ὅτε ἴδῃς πάντα σποδὸν γενόμενα, τότε νόει ὅτι καλῶς ἔχει, ...... καὶ εὑρήσεις τὸ ζητούμενον.» Καὶ ἡμεῖς μὲν ἀδύνατοι ὄντες πέρας ἐπιθῆναι τῷ λόγῳ διὰ τὴν ἄφατον εὔκλειαν τῶν ἐγκωμίων τῆς τέχνης, ὁ λόγος ἑαυτὸν σεμνύνας ἑαυτῷ πέρας ἐπέθηκεν· καὶ οἶκον αἰνίττεται φιλοσόφων ψυχῶν, καί φησιν· «Οἶκος ἦν σφαιροειδὴς ἢ ὠοειδὴς ταῖς δυσμαῖς βλέπων εἰς ἃς εἶχεν τὴν εἴσοδον, κοχλιοειδὴς ὑπάρχων· εὑρήσεις δὲ αὐτοῦ τὴν διαγραφὴν ἐν τῷ μνημονευθέντι σοι λόγῳ.

2.99 Πάλιν ἀναφέρουσι τὴν τέχνην εἰς ἥλιον καὶ σελήνην. Καὶ ὁ μὲν ἥλιος τῆς ἀνατολῆς ἄρχει, ἡ δὲ σελήνη τῆς δύσεως. Καὶ πιθανὰς ἀποδείξεις ἀναφέρουσιν περὶ τούτων, ὅτι περὶ ψάμμου τι λελαλήκασιν, τὰς οὐσίας αἰνιττόμενοι. Ταριχεύοντες δὲ τὰ θειώδη τινὲς, τοῦ φαρμουθὶ μηνὸς ἐλθόντος, ἕκαστον τῶν εἰδῶν βάλλοντες εἰς λινοῦν στερεὸν καὶ πυκνὸν ῥάκος, ζεννύουσι τῇ θαλάσσῃ τὰ εἴδη, ἀποβάλλοντες τὸ ζέμα πεποιημένον, καὶ πάλιν ἐῶντες ἐν τῇ θαλάσσῃ βρέχεσθαι, οὐκ ἀφ' ἑαυτῶν οὐδὲ τοῦτο τεκμηράμενοι, ἀλλ' ἀπ' ἐκείνων ὧν φησιν Ἑρμῆς εἰς πολλοὺς τόπους, ὅτι «Ζέσον εἰς ῥάκος λινοῦν στερεόν.» Αὐτὸς μὲν βοτάνην εἴρηκεν ζεννύσθαι, καὶ δικαίως· «Αὔξησιν γὰρ λαμβάνει·» ἡ γὰρ αὔξησις οὐκ ἔστιν ματαία· εἰς γὰρ τροφὴν καὶ σπερμάτωσιν αὐξάνουσιν. Καὶ μέμνηνται πολλοὶ τῶν ἀρχαίων τῶν ζέσεων· καὶ Μαρία καὶ Δημόκριτος ὅτι «Πλῦνον καὶ πλῦνον ἕως φύγῃ ἡ μελανία τοῦ στίμμεως· καὶ ταύτην τὴν πλύσιν λεύκωσιν αἰνίττονται, ὡς καὶ ἀνωτέρω εἴρηται. Πάλιν περὶ τῆς ξανθῆς οὐσίας φροντίζοντες κατάλογον ξανθῶν εἰδῶν ποιοῦνται· καί φησιν· «Δύο εἰσὶ λευκώσεις, ὡς καὶ δύο ξανθώσεις, καὶ δύο συνθέματα, ξηρὸν καὶ ὑγρὸν, τουτέστιν ἐν τῷ καταλόγῳ τοῦ ξανθοῦ βοτάνας καὶ μέταλλα, καὶ ζωμοὺς δύο, ἕνα ἐν τῷ ξανθῷ, καὶ ἕνα ἐν τῷ λευκῷ· καὶ ἐν μὲν τῷ ξανθῷ ζωμῷ, τὰ διὰ τῶν ξανθῶν βοτανῶν, οἷον κρόκου καὶ ἐλυδρίου, καὶ τῶν ὁμοίων· καὶ ἐν τῷ λευκῷ πάλιν συνθέματι, καὶ ἐν μὲν τῷ ξηρῷ πάντα τὰ λευκὰ, οἷον γῆ κρητικὴ, κιμωλία, καὶ ὅσα τοιαῦτα.

2.100 Καὶ πάλιν ἐν τῷ ὑγρῷ τοῦ λευκοῦ, ὅσα λευκὰ ὕδατα, οἷον ζύθον καὶ χυλοὺς καὶ ὀποὺς βοτανῶν· Καὶ ταῦτα πάντα περὶ χρωμάτων αἰνιττόμενοι, ποιοῦνται τὴν φροντίδα. Αὐτοὶ δὲ, ὡς συνετοὶ, κρίνατε, προγεγυμνασμένοι ἐν τούτοις. Ἡμεῖς μὲν γὰρ πάντων τούτων καταφρονήσαντες, κατὰ τὸν Δημόκριτον · «Ἴσμεν γὰρ τῆς ὕλης τὴν διαφορὰν, καὶ ἐπὶ τὰ χρησιμώτατα χωροῦμεν.» Καὶ ὅρα πῶς ἐν τῇ κατ' ἐνέργειαν βίβλῳ, τῷ δευτέρῳ λόγῳ, τί φησιν περὶ τῆς λευκώσεως τῆς λευκῆς· «Δύο εἰσὶν λευκώσεις, ὡς καὶ δύο ξανθώσεις· μία διὰ λειώσεως, καὶ ἑτέρα διὰ ἑψήσεως. Ἡ οὖν διὰ λειώσεως γίνεται· οὐ γὰρ ἁπλῶς συλλειοῦται, ἀλλ' ἐν δώματι ἱερατικῷ· ἐκ δὲ τοῦ δώματος ἐκείνου τοῦ ἱεροῦ οἴκου, ἐφ' ἴσα τὰ μέρη, πανταχόθεν λίμναι καὶ κῆποι παρακείσθωσαν· ἵνα μὴ ὁ ζέφυρος πνέων καὶ κόνιν ἐκ τοῦ σύνεγγυς ἐπισύρηται κατὰ τῆς θυείας.» Ἰδοὺ τὸν τόπον τῆς λειώσεως εἶπεν μυστικῶς. «Καὶ αὐτοὶ, ὡς συνετοὶ, κρίνατε τὸ μέσον τοῦ δώματος.» Καὶ τὸ «λίμναι καὶ κῆποι,» τί ἐστιν. Ἑρμῆς τοίνυν μικρὸν κόσμον ὑποτίθεται τὸν ἄνθρωπον, λέγων ὅτι ὅσα ἔχει ὁ μέγας κόσμος, ἔχει καὶ ὁ ἄνθρωπος. Ἔχει ὁ μέγας κόσμος ζῷα χερσαῖα καὶ ἔνυδρα· ἔχει καὶ ὁ ἄνθρωπος ψύλλους καὶ

φθεῖρας, καὶ [ἔνυδρα] ἕλμιγγας. Ἔχει ὁ μέγας κόσμος ποταμοὺς, πηγὰς, θαλάσσας· ἔχει ὁ ἄνθρωπος τὰ ἔντερα. Ἔχει ὁ μέγας κόσμος τὰ ἀέρια ζῷα· ἔχει καὶ ὁ ἄνθρωπος τοὺς κώνωπας.

2.101 Ἔχει ὁ μέγας κόσμος πνεύματα ἀναδιδόμενα, οἷον ἀνέμους· ἔχει καὶ ὁ ἄνθρωπος τὰς φύσας, οἷον τῷδε. Ἔχει ὁ μέγας κόσμος ἥλιον καὶ σελήνην· ἔχει καὶ ὁ ἄνθρωπος τοὺς δύο ὀφθαλμοὺς, καὶ τὸν μὲν δεξιὸν ὀφθαλμὸν τῷ ἡλίῳ ἀνατιθέασι, τὸν δὲ ἀριστερὸν τῇ σελήνῃ. Ἔχει ὁ μέγας κόσμος ὄρη καὶ βουνούς· καὶ ὁ ἄνθρωπος τὰ ὀστέα. Ἔχει ὁ μέγας κόσμος τὸν οὐρανόν· ἔχει καὶ ὁ ἄνθρωπος τὴν κεφαλήν. Ἔχει ὁ οὐρανὸς τὰ δώδεκα ζῴδια ἀπὸ κριοῦ τῆν κεφαλὴν ἕως ἰχθύων τοὺς πόδας. Καὶ τοῦτό ἐστι τὸ φημιζόμενον παρ' αὐτοῖς τὸ κοσμικὸν μίμημα ὃ καὶ ἐν τῇ βίβλῳ τῆς ἀρέτης μέμνηται ὁ Ζώσιμο ς . Τοῦτό ἐστιν καὶ ἡ γῆ τοῦ κόσμου. Καὶ μὴν ἄνθρωπον ἔχομεν λειῶσαι καὶ ἐπιβαλεῖν; φησὶν ὁ φιλόσοφος πρὸς τὸν Ζώσιμο ν . Ὁ δέ φησιν· «Ἐτεκμηράμην ὡς ἐκ τοῦ κοσμικοῦ, τοῦτο ὠὸν εἶναι.» Πάλιν ἐν τῇ πυραμίδι ὁ Ἑρμῆς τὸ ὠὸν αἰνιττόμενος, κυρίως οὐσίαν καὶ χρυσοκόλλης καὶ σελήνης ἔλεγεν τὸ ὠόν. Καὶ γὰρ τὸ ὠὸν προκαλεῖται τὸν χρυσόκομον κόσμον· ἄνθρωπον γὰρ εἶναί φησιν τὸν ἀλεκτρυόνα ὁ Ἑρμῆς καταραθέντα ὑπὸ τοῦ ἡλίου. Ταῦτα λέγει ἐν τῇ ἀρχαϊκῇ βίβλῳ. Ἐν αὐτῷ δὲ μέμνηται καὶ περὶ τοῦ ἀσπάλακος, ὅτι καὶ αὐτὸς ἄνθρωπος ἦν· καὶ ἐγένετο θεοκατάρατος, ὡς ἐξειπὼν τὰ τοῦ ἡλίου μυστήρια. Καὶ ἐποίησεν αὐτὸν τυφλόν. Ἀμέλει καὶ ἐὰν φθάσῃ θεωρηθῆναι ὑπὸ τοῦ ἡλίου, οὐ δέχεται αὐτὸν ἡ γῆ ἕως ἑσπέρας.

2.102 Λέγει ὅτι «ὡς καὶ γιγνώσκων τὴν μορφὴν τοῦ ἡλίου ὁποία ἦν.» Καὶ ἐξώρισεν αὐτὸν ἐν τῇ μελαίνῃ γῇ, ὡς παρανομήσαντα, καὶ ἐξειπόντα τὸ μυστήριον τοῖς ἀνθρώποις. Ὁμοίως τὸ συναγόμενον ἐκ τούτων συντομίας χάριν· ἔσω γινώσκων ὡς πρὸς τὰς γονὰς γένος ὑπάρχει καὶ τῷ εἴδει μόνον διαφέρον κατὰ τῶν πτηνῶν διὰ τὸ πρόχειρον, καὶ ὑπὸ ἑαυτοῦ φρουρούμενόν ἐστιν, κἄν τε τῶν χαμερπῶν ζῴων, κἂν τετραπόδων, κἂν διενηνόχασιν ἀλλήλων πρὸς εἶδος, ἀλλὰ τῇ δυνάμει συμφωνοῦσιν. Ὁ δὲ ἄνθρωπος ὡς τιμιώτερος πάντων τῶν ἀλόγων ζῴων, τοῦτο φέρουσιν ἐπὶ μνήμης πάλιν, Συνεσίου πρὸς Διόσκορον γράφοντος. Φησίν· «Προτετίμηται ὁ ἄνθρωπος πάντων τῶν ζῴων τῶν ἐπὶ τῆς γῆς.» Τὸ γὰρ κυρίως τῆς ὅλης τέχνης, φησὶν Ὧρος «λαθραίως εἰληφέναι τὸ τοῦ ἄρρενος σπέρμα, ἀλλὰ πάντα ἀρρενόθηλυ ὑπάρχειν,» ὥς πού φησιν ἡ Μαρία · «Ζεύξατε ἄρρενα καὶ θήλειαν, καὶ εὑρήσεται τὸ ζητούμενον· χωρὶς γὰρ ταύτης τῆς οἰκονομίας τῆς συζυγίας, οὐδὲν δύναται κατορθωθῆναι· ἡ γὰρ φύσις τῇ φύσει τέρπεται». Καὶ τὰ ἑξῆς. Ὁ δὲ Δημόκριτος ἐκ τούτων λαβὼν 〈ἀφορμὰσ〉 συνεγράψατο βιβλία τέσσαρα τῷ τῆς ἀφορμῆς ὀνόματι. Καὶ Μαρία · «Λαβὼν πέταλον τὸ μήνης ...» Καὶ ἀλλαχοῦ· «Τὸ πέταλον τῆς κηροτακίδος ...» κηροτακίδα καλήσασα τὴν θάλψιν τὴν διὰ πετάλου. Καὶ γὰρ τὸ πέταλον ῥάκος ἐκ βοτάνης ἐστὶν εἰργασμένον ...» Καὶ ἀλλαχοῦ ἡ αὐτή· «τῷ αὐτῷ μωταρίῳ τῆς ξανθῆς σανδαράχη.

2.103 Ἰδοὺ καὶ θηλυκὸν ὄνομα σανδαράχῃ· τὰ γὰρ μωτάρια, ὡς ἴστε, ἐκ ῥάκους εἰσὶν, καὶ ἐν τῇ στήλῃ τῆς ἀρσενοειδοῦς ὑποκάτω τοῦ ζῳδίου Μαρίας ἐστὶν τὰ ὧδε· «Σὺν καὶ πᾶσι χρήμασι.» Καὶ ἀλλαχοῦ· «Πύρινον φάρμακον ...» Καὶ ἀλλαχοῦ φησὶν ἡ Μαρία · «Μὴ θέλε ψαύειν χειροῖν· οὐκ εἶ γένους Ἀβραμιαίου· καὶ εἰ μὴ εἶ ἐκ τοῦ γένους ἡμῶν ...» Καὶ ὅρα ὅτι εἰδική ἐστιν ἡ τέχνη καὶ οὐ κοινὴ, ὥς τινες δοκοῦσιν, καὶ πρὸς εἰδότας ἢ λαβόντας λελαλήκασιν. Ἀλλὰ σὺ, κάλλιστε υἱὲ, τὰ δοκοῦντα χρήσιμα ἀναλέγου, παραινούμενος παρὰ τοῦ φιλοσόφου ὡς· «Νοήμοσι λέγω, γυμνάζων ὑμῶν τὰς φρένας εἰς τὸ τίσι δεῖ κεχρῆσθαι». Καὶ εἰ ἐν τούτοις ὑπῆρχον ἀσκούμενοι οἱ νέοι, οὐκ ἂν ἐδυστύχουν κρίσει ἐπὶ τὰς πράξεις ὁρμῶντες. Καὶ· «Γίνεσθε παῖδες ἰατρῶν, ἵνα νοῆτε τὰς φύσεις, ὁπηνίκα αὐτὸ ὑγιεινὸν φάρμακον κατασκευάσαι βουλόμενοι, τοῦτο οὐκ ἀκρίτῳ ὁρμῇ πράττειν ἐπιχειροῦσιν». Καὶ τὰ ἑξῆς. Βλέπε οὖν πῶς ἐρρέθη ὅτι ἡ τέχνη εἰδική ἐστιν, καὶ οὐ κοινή. Ἀκούετε τοίνυν, ἄφρονες, τί φησιν Ὧρος ὁ χρυσωρυχίτης πρὸς Κρονάμμονα περὶ τῆς μερικῆς τέχνης τε καὶ τῶν εἰδῶν. «Μικρὸν λογύδριον παρενθήσω τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀληθίνης φύσεως τὴν ἑρμηνείαν ποιησάμενος, τοσοῦτον παρ᾽ ἡμῖν μνημονευθεισῶν τάξεων, καὶ μηδαμοῦ τῆς ἀληθείας τῆς διὰ ψάμμων καὶ λίθων ἐκδοθείσης· ἀλήθειαν εἶπον τῆς διὰ ψάμμων· τῶν γὰρ τάξεων μηδαμῶς εἰς πέρας ἀχθεισῶν. Τίς γὰρ οὐκ οἶδεν ὅτιπερ καὶ χρυσὸς καὶ ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος καὶ μόλυβδος καὶ κασσίτερος καὶ γαῖ καὶ λίθοι καὶ μέταλλα ἐκ τῆς γῆς εἰσιν καὶ χρήσιμα τυγχάνουσι; Καὶ ἐκ τούτων τὴν συγγραφὴν ἐποιήσαντο, ποιήσαντες καὶ ζωμοὺς ἐκ βοτανῶν χυλῶν καὶ ὀπῶν, δένδρων καὶ καρπῶν καὶ ξύλων ξηρῶν καὶ ὑγρῶν· ἐκ τούτων ζωμοὺς καταστήσαντες, συνεστήσαντο τὴν τέχνην ἐκ ταύτης τῆς μιᾶς, ὡς ἓν δένδρον εἰς μυρίους κλάδους διελόντες, μυρίας τάξεις ἐποιήσαντο.

2.104 Ἔχεις οὖν ὧδε ὅλῃ δυνάμει τὸ ὅλον τοῦ ἔργου· χαλκομόλυβδος, ἐτήσιος λίθος ἐξίσου ὁμορρευστήσαντα χρύσοπτα πάντα ποιεῖ. Τὸ δὲ «ὁμορρευστήσαντα» οὐδὲν ἄλλο σημαίνει, ἢ τὸ ὁμοῦ καὶ κατ᾽ αὐτὸν ῥεύσαντα, δηλονότι διὰ τοῦ πυρός.